3 *συμβόλιά* Corn., *σύμβολά* Legr. 9 *μηδὲ* P 11 *ἀπειργάσθαι* Legr., *ἀπεργάσθαι* P, *ἀπεργάσασθαι* Gal., *ἀπειργάσθη* Pass. 12 *αὑτοῦ* Corn. 13 *ἐτέλευτεν* Corn., in mg. glossa: *τὸν ὀδυσσέως θάνατον ὁποῖος* P[1]; trimetrum Sophoclis latere in verbis: *τρωθεὶς ἀκάνθῃ τρυγόνος θαλασσίας* vidit Mein.; proverbium: *διὸ καὶ τρυγόνος θαλασσίας κέντρον λέγεται* **Eustath. Il. p. 1308, 60.** 15 ΠΕΡΙΠΟΙΉΤΩι P, *ἐν τῷ ι' περὶ πετειῶν* Bergk. in Diar. Ant. 1845 p. 378, cf Schneideri Nic. p. 27. 19 *ἐκ* P[1], *ἔκ* P[2], *ἔκ του* [*θεῶν*] Corn., *ἐκ τοῦ Φοίβου* Meurs. ad Lycophr. 61, *ἐκ θεοῦ* Gal., *ὑπό του θεῶν* Coraes. 17 ad fabulam cf. **Bion II 11, Apollod. III 12, 6, Strab. XIII 596, Tzetz. Lyc. 57—62, Ovid. Her. V.** 20 [*δὲ*] Meursius 21 [*μ*]*έγα* et *δ*[*ι*]*αβεβοῆσθαι* in ras. P

γόμενος παρὰ τοῦ πατρὸς εἰς τὴν Ἴδην, ὅπου αὐτοῦ οἱ σταθμοὶ ἦσαν, εἶχε γυναῖκα, καὶ αὐτῇ φιλοφρονούμενος μηδαμὰ ⟨ὑπέσχετο⟩ προλείψειν, ἐν περισσοτέρᾳ δὲ τιμῇ ἄξειν· ἡ δὲ συνιέναι μὲν ἔφασκεν, εἰς τὸ παρὸν ὡς δὴ πάνυ αὐτῆς ἐρῴη, χρόνον μέντοι τινὰ γενήσεσθαι, ἐν ᾧ ἀπαλλάξας αὐτὴν εἰς τὴν Εὐρώπην περαιωθήσεται κἀκεῖ πτοηθεὶς ἐπὶ γυναικὶ ξένῃ πόλε-
3 μον ἐπάξεται τοῖς οἰκείοις. Ἐξηγεῖτο δέ, ὡς δεῖ αὐτὸν ἐν τῷ πολέμῳ τρωθῆναι, καὶ ὅτι οὐδεὶς αὐτὸν οἷός τε ἔσται ὑγιῆ ποιῆσαι ἢ αὐτή· ἑκάστοτε δὲ ἐπιλεγομένης αὐτῆς ἐκεῖνος οὐκ εἴα μεμνῆσθαι. Χρόνου δὲ προϊόντος ἐπειδὴ Ἑλένην ἔγημεν, ἡ μὲν Οἰνώνη μεμφομένη τῶν πραχθέντων τὸν Ἀλέξανδρον εἰς Κεβρῆνα ὅθεν περ ἦν γένος ἀπεχώρησεν, ὁ δὲ παρήκοντος ἤδη τοῦ
4 πολέμου διατοξευόμενος Φιλοκτήτῃ τιτρώσκεται. Ἐν νῷ δὲ λαβὼν τὸ τῆς Οἰνώνης ἔπος, ὅτε ἔφατο αὐτὸν πρὸς αὐτῆς μόνης οἷόν τε εἶναι ἰαθῆναι, κήρυκα πέμπει δεησόμενον, ὅπως ἐπειχθεῖσα ἀκέσηταί τε αὐτὸν καὶ τῶν παροιχομένων λήθην ποιήσηται, ἅτε δὴ κατὰ θεῶν βούλησίν † τε ἀφικόμενον· ἡ δὲ αὐθαδέστερον ἀπεκρίνατο, ὡς χρὴ παρ' Ἑλένην αὐτὸν ἰέναι κἀκείνης

2 pro αὐτῇ Ba. αὐχεῖ, post αὐτῇ excidisse putat ἔφη Meurs. 3 μηδαμᾶι P, tum lacuna, μηδαμὰ Pass. ⟨ὑπέστη⟩ (vel ὑπέσχετο) post φιλοφρονούμενος (aut φιλοφρόνως ὑπέστη) Legr., ⟨ὤμοσε⟩ post φιλ. Cob. περισσοτέρα' P 4 δὲ τ. Martinius, τε P ἄξειν] ἕξειν Cob. 5 ἐρωη· P 10 ἑκάστο|τε **P fol. 175ᵛ** 11 εἴα] ἐᾷ Gal., excidisse aliquid suspicatus est Legr. 18 ἐπειχθεισ(α)ἀκέσηται P, ἀκέσεται et ποιήσεται Iacobs. add. anim. in Athen. p. 286. 20 τε ἀφικόμενον P; crucis posui signum, cum locus nondum sanatus sit: γε ἀφικομένων Legr., [τε] ἐξικομένων He. ad Apoll. p. 336, εἰς τοῦτό γ' ἀφικόμενον Scaliger, βούλησίν τε ⟨καὶ βουλὴν⟩ ἀφικομένων *? (ἤδη) αὐθαδέστερον P

δεῖσθαι, ⟨ἐν⟩ αὐτῇ δὲ μάλιστα ἠπείγετο, ἔνθα [δὴ] ἐπέπυστο κεῖσθαι αὐτόν. Τοῦ δὲ κήρυκος τὰ λεχθέντα 5 *παρὰ τῆς Οἰνώνης θᾶττον ἀπαγγείλαντος ἀθυμήσας ὁ Ἀλέξανδρος ἐξέπνευσεν, Οἰνώνη δὲ, ἐπεὶ νέκυν ἤδη κατὰ γῆς κείμενον ἐλθοῦσα ἴδεν, ἀνῴμωξέν τε καὶ πολλὰ κατολοφυραμένη διεχρήσατο ἑαυτήν.*

V. Περὶ Λευκίππου.

[Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίῳ.]

1 *Λεύκιππος δὲ, Ξανθίου παῖς, γένος τῶν ἀπὸ Βελλεροφόντου, διαφέρων ἰσχύι μάλιστα τῶν καθ' ἑαυτὸν, ἤσκει τὰ πολεμικά. Διὸ πολὺς ἦν λόγος περὶ αὐτοῦ παρά τε Λυκίοις καὶ τοῖς προσεχέσι τούτοις, ἅτε δὴ ἀγομένοις καὶ πᾶν ὁτιοῦν δυσχερὲς πάσχουσιν.* 2 *Οὗτος κατὰ μῆνιν Ἀφροδίτης εἰς ἔρωτα ἀφικόμενος τῆς ἀδελφῆς, τέως μὲν ἐκαρτέρει, οἰόμενος ῥᾷστα ἀπαλλάξασθαι τῆς νόσου, ἐπεὶ μέντοι χρόνου διαγενομένου οὐδὲ ἐπ' ὀλίγον ἐλώφα τὸ πάθος, ἀνακοινοῦται τῇ μητρὶ καὶ πολλὰ καθικέτευε, μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον· εἰ γὰρ αὐτῷ μὴ συνεργήσειεν, ἀποσφάξειν αὐτὸν ἠπείλει.* 3 *Τῆς δὲ παραχρῆμα τὴν ἐπιθυμίαν φαμένης τελέσειν ῥᾴων ἤδη γέγονεν· ἀνακαλεσαμένη δὲ τὴν κόρην συγκατακλίνει τἀδελφῷ, κἀκ τούτου συνῆσαν οὐ μάλα τινὰ δεδοικότες, ἕως τις ἐξαγγέλλει τῷ κατηγγυημένῳ*

1 ⟨ἐν⟩ αὐτῇ *, αὐτὴ P [δὴ] * 4 ἐπ[εὶ] in litura P 5 ἴδεν] εἶδεν Pass. ἀνώμωξέν τε P, ἀνῴμωξέ τε Corn. 8 ΛΕΟΝΤΙ P, λεοντίῳ Gal. 9 παῖ[ς] in ras. P γένος ⟨ἐκ⟩ τῶν Legr. 13 ἀγομένοις ⟨καὶ φερομένοις⟩ Cob. 15 ῥᾶ[ι]στα in ras. P ἀπαλλάξεσθαι Corn. 17 ἐλώφα' P ἀνεκοινοῦτο Legr. μητρί. καὶ P 19 εἰ | γὰρ **P fol. 176r** αὐτὸν Gal. 20 παρὰ χρῆμα P (semper) τελεύτειν Corn. Gal., τελευτεῖν (!) Abresch. anim. ad Aesch. I p. 396, ἐκπλήσειν He. 22 κἀκ P 23 κατηγγυημένῳ Pass. (?), κατεγγυημένῳ P

τὴν κόρην μνηστῆρι. Ὁ δὲ τόν τε αὑτοῦ πατέρα παραλαβὼν καί τινας τῶν προσηκόντων πρόσεισι τῷ Ξανθίῳ καὶ τὴν πρᾶξιν καταμηνύει, μὴ δηλῶν τοὔνομα
4 τοῦ Λευκίππου. Ξάνθιος δὲ δυσφορῶν ἐπὶ τοῖς προσηγγελμένοις πολλὴν σπουδὴν ἐτίθετο φωρᾶσαι τὸν φθορέα, καὶ διεκελεύσατο τῷ μηνυτῇ, ὁπότε ἴδοι συνόντας, αὐτῷ δηλῶσαι· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος καὶ αὐτίκα τὸν πρεσβύτην ἐπαγομένου τῷ θαλάμῳ, ἡ παῖς αἰφνιδίου ψόφου γενηθέντος ἵετο διὰ θυρῶν, οἰομένη λήσεσθαι τὸν ἐπιόντα· καὶ αὐτὴν ὁ πατὴρ ὑπολαβὼν εἶναι τὸν φθορέα πατάξας μαχαίρᾳ κατα-
5 βάλλει. Τῆς δὲ περιωδύνου γενομένης καὶ ἀνακραγούσης ὁ Λεύκιππος, ἐπαμύνων αὐτῇ καὶ διὰ τὸ ἐκπεπλῆχθαι μὴ προϊδόμενος, ὅστις ἦν, κατακτείνει τὸν πατέρα. Δι' ἣν αἰτίαν ἀπολιπὼν τὴν οἰκίαν Θετταλοῖς ἐπὶ τοῖς συμβεβηκόσιν εἰς Κρήτην ἡγήσατο, κἀκεῖθεν ἐξελαθεὶς ὑπὸ τῶν προσοίκων εἰς τὴν Ἐφεσίαν ἀφίκετο, ἔνθα χωρίον ᾤκησε τὸ Κρητιναῖον ἐπικληθέν.
6 Τοῦ δὲ Λευκίππου τούτου λέγεται τὴν Μανδρολύτου θυγατέρα Λευκοφρύην ἐρασθεῖσαν προδοῦναι τὴν πόλιν τοῖς πολεμίοις, ὧν ἐτύγχανεν ἡγούμενος ὁ Λεύκιππος,

1 αὐτοῦ P, corr. Pass. 2 πρόσεστι Corn. 3 καταμ[ηνύει] in ras. P 4 πρ̊οσηγγελμένοις P 7 ἐπακούσαντος Corn. 8 ἐπαγαγομένου Hr. 9 αἰφνιδίου, spir. in lit. P ἴετο P, corr. Mein. διὰ ⟨τῶν⟩ θυρῶν Legr. 11 μαχαίρα ͺ P 12 ἀνακραυγούσης Corn. 14 προειδόμενος P, corr. Pass. 15 ἀπολιπὼν ἐπὶ τοῖς συμβεβηκόσι τὴν οἰκίαν, Κρήτην Θετταλοῖς ἡγήσατο Legr.; „post verba εἰς Κρήτην excidisse videtur ἀποδημοῦσιν vel simile quid“ Mein.; „verba ἐπὶ τοῖς συμβεβηκόσιν glossator nisi fallor ad δι' ἣν αἰτίαν adscripserat“ Hr.; Θετταλῶν Hir.; fort. κἀκεῖθεν ⟨ἐπὶ τοῖς συμβεβηκόσιν⟩ ἐξελαθεὶς ὑπὸ τῶν προσοίκων * 18 ᾤκισε Gal. 20 Λευκοφρύνην He.

ἑλομένων αὐτὸν κατὰ θεοπρόπιον τῶν δεκατευθέντων ἐκ Φερῶν ὑπ' Ἀδμήτου.

VI. Περὶ Παλλήνης.

[Ἱστορεῖ Θεαγένης καὶ Ἡγήσιππος ἐν Παλληνιακοῖς.]

Λέγεται ⟨δὲ⟩ καὶ Σίθονα τὸν Ὀδομαντῶν βασιλέα 1
γεννῆσαι θυγατέρα Παλλήνην, καλήν τε καὶ ἐπίχαριν,
καὶ διὰ τοῦτο ἐπὶ πλεῖστον χωρῆσαι κλέος αὐτῆς,
φοιτᾶν τε μνηστῆρας οὐ μόνον ἀπ' αὐτῆς ⟨τῆς⟩ Θρά-
κης, ἀλλὰ καὶ ἔτι πρόσωθέν τινας, ἀπό τε Ἰλλυρίδος
⟨καὶ⟩ τῶν ἐπὶ Τανάιδος ποταμοῦ κατῳκημένων· τὸν
δὲ Σίθονα πρῶτον μὲν κελεύειν τοὺς ἀφικνουμένους
μνηστῆρας πρὸς μάχην ἰέναι ⟨ἑαυτῷ, ἐφ' ᾧ τε, εἰ μέν
τις νικῴη, ἀπιέναι⟩ τὴν κόρην ἔχοντα, εἰ δὲ ἥττων
φανείη, τεθνάναι· τούτῳ τε τῷ τρόπῳ πάνυ συχνοὺς
ἀνῃρήκει. Μετὰ δέ, ὡς αὐτὸν [τε] ἡ πλείων ἰσχὺς 2
ἐπελελοίπει ἔγνωστό τε αὐτῷ τὴν κόρην ἁρμόσασθαι,
δύο μνηστῆρας ἀφιγμένους, Δρύαντά τε καὶ Κλεῖτον,
ἐκέλευεν ἄθλου προκειμένου τῆς κόρης ἀλλήλοις δια-
μάχεσθαι, καὶ τὸν μὲν τεθνάναι, τὸν δὲ περιγενόμενον

2 *Φαρῶν* Gal. 4 Διογένης P, corr. Gal. (cf. **St. Byz.** s. v. *Παλλήνη*), *Θεογένης* Pass. 5 cf. **Tzetz. Lyc. 1161, Con. narr. 10, Eust. ad Dion. Per. 327.** ⟨*δὲ*⟩ Hr. *Σίθωνα* Mein. *τὸν ὀδομαντῶν* P, *τῶν* Corn. 6 *θυγατέρα* | *Παλλήνην* **P fol. 176ᵛ** *τε* Legr., *δὲ* P 7 *χωρῆσαι* ⟨*τὸ*⟩ Hr. *κλ[έ]ος* in ras. P 8 ⟨*τῆς*⟩ Cob. 10 ⟨*καὶ*⟩ ins. Corn. *κατωι-κ[η]μένων* in lit. P 12 *ἵναι* (ε supra) P ⟨ ⟩ ins. Cob., ⟨*αὐτῷ, καὶ εἰ μὲν περιγένοιτο ὁ διαμαχόμενος, ἀπιέναι*⟩ Mein., *τῆς κόρης ἐρῶντα* aut *τῆς κόρης ἕνεκα, ὃς δ' ἂν ἥττων* Legr., *πρὸς* ⟨*αὐτὸν εἰς*⟩ *μάχην ἰέναι* He., *πρὸς μάχην ἰέναι* ⟨*ἀεὶ*⟩ *τὴν κόρην ἔχοντα* Iacobs. in eph. Hal. 1806 nr. 282, *ἔχοντι* vel *τῷ τ. κ. ἔχοντι* Ba., *τὴν κόρην ἕξοντα* Pass., *τὴν κόρην ἑλόντα* * 14 [*πάνυ σ*]*υχνοὺς* in ras. P 15 [*τε*] Mein. *πλ[εί]ων* in ras. P 16 *ἐπιλελοίπει* P, corr. Legr. ⟨*γάμοις*⟩ *ἁρμόσασθαι* Mein. 17 *ἀφι[γ]μένους* in lit. P

3 *τήν τε βασιλείαν καὶ τὴν παῖδα ἔχειν. Τῆς δὲ ἀφω-*
ρισμένης ἡμέρας παρούσης ἡ Παλλήνη (ἔτυχε γὰρ
ἐρῶσα τοῦ Κλείτου) πάνυ ὠρρώδει περὶ αὐτοῦ, καὶ
σημῆναι μὲν οὐκ ἐτόλμα τινὶ τῶν ἀμφ' αὐτὸν, δάκρυα
δὲ πολλὰ ἐχεῖτο τῶν παρειῶν αὐτῆς, ἕως ὅτε ⟨ὁ⟩ τρο-
φεὺς αὐτῆς πρεσβύτης ἀναπυνθανόμενος καὶ ἐπιγνοὺς
τὸ πάθος τῇ μὲν θαρρεῖν παρεκελεύσατο, ὡς ᾗ βού-
λεται, ταύτῃ τοῦ πράγματος χωρήσοντος, αὐτὸς δὲ
κρύφα ὑπέρχεται τὸν ἡνίοχον τοῦ Δρύαντος καὶ αὐτῷ
χρυσὸν πολὺν ὁμολογήσας πείθει διὰ τῶν ἁρματηγῶν
4 *τροχῶν μὴ διεῖναι τὰς περόνας. Ἔνθα δὴ ὡς εἰς μάχην*
ἐξῄεσαν καὶ ἤλαυνεν ὁ Δρύας ἐπὶ τὸν Κλεῖτον, [καὶ]
οἱ τροχοὶ περιερρύησαν αὐτῷ τῶν ἁρμάτων· καὶ οὕτως
πεσόντα αὐτὸν ἐπιδραμὼν ὁ Κλεῖτος ἀναιρεῖ. Αἰσθό-
μενος δὲ ὁ Σίθων τόν τε ἔρωτα καὶ τὴν ἐπιβουλὴν
τῆς θυγατρὸς, μάλα μεγάλην πυρὰν νήσας καὶ ἐπιθεὶς
τὸν Δρύαντα ᾤετο συνεπισφάξειν καὶ τὴν Παλλήνην.
5 *Φαντάσματος δὲ θείου γενομένου καὶ ἐξαπιναίως ὕδα-*
τος ἐξ οὐρανοῦ πολλοῦ καταρραγέντος μετέγνω τε καὶ
γάμοις ἀρεσάμενος τὸν παρόντα Θρακῶν ὅμιλον ἐφίησι
τῷ Κλείτῳ τὴν κόρην ἄγεσθαι.

1 *ἀφοϱισμένης* P, sed corr. P^1 3 *ὀρρώιδει*, corr. Ba., *ὠῤῥώδει* Legr. 4 *σημῆναι* P *ἀμφ' αὐτὸν*] *ἀμφ' αὐτὴν* Mein., *περὶ αὐτὸν* Corn., *περὶ αὐτὴν* Legr. 5 *κατεχεῖτο* Cob. *ἕως ὅτι* Corn., *ἕως ὁ* Hir., *ἕως οὗ ὁ* Hr., *ἕως ὅτε ὁ* * 6 *πρεσβύτης*] *Πρεσύν-της* Corn., *πρεσβύτης ⟨ἀνὴρ⟩* Hir. 8 *χωρήσ[ο]ντος* in ras. P, *χωρήσαντος* Corn. 10 *δ[ι]ὰ* in ras. P, [*διὰ*] Legr., *πρὸ τ. ἁρματηρῶν*, tum *διεῖραι* Schneider., *ἁρματηίων* Mein., *τροχῶ^ν* P 12 [*καὶ*] Mein. 13 *περιερύησαν* P 14 *αὐτ[ὸ]ν* in lit. P 17 *οιστεοσιν ἐπισφάξειν* P^1, *ᾤετο συνεπισφ.* P^2, *ἵετο* Cob., *ἵετο* Mein., *οἷος ἦν ἐπικατασφάξειν* Hr., *ὦρτο συνεπισφάξειν* * *Παλ-λήνην.* | *Φαντάσματος* **P fol. 177ʳ** 18 *δὲ* P^2 in ras. 19 *καταραγέντος* P. 20 *ἀρεσάμενος* P^1, corr. P^2 *θράκῶν* P

VII. Περὶ Ἱππαρίνου.

[Ἱστορεῖ Φανίας ὁ Ἐρέσιος.]

Ἐν δὲ τῇ Ἰταλῇ Ἡρακλείᾳ παιδὸς διαφόρου τὴν 1
ὄψιν (Ἱππαρῖνος [ἦν] αὐτῷ ὄνομα) τῶν πάνυ δοκίμων Ἀντιλέων ἠράσθη· ὃς πολλὰ μηχανώμενος οὐδαμῇ δυνατὸς ἦν αὐτὸν ἁρμόσασθαι, περὶ δὲ γυμνάσια διατρίβοντι πολλὰ τῷ παιδὶ προσρυεὶς ἔφη τοσοῦτον αὐτοῦ πόθον ἔχειν, ὥστε πάντα πόνον ἀνατλῆναι καί, ὅ τι ἂν κελεύῃ, μηδενὸς αὐτὸν ἁμαρτήσεσθαι. Ὁ δὲ 2
ἄρα κατειρωνευόμενος προσέταξεν αὐτῷ ἀπό τινος ἐρυμνοῦ χωρίου, ὃ μάλιστα ἐφρουρεῖτο ὑπὸ τοῦ τῶν Ἡρακλεωτῶν τυράννου, τὸν κώδωνα κατακομίσαι, πειθόμενος μὴ ἄν ποτε τελέσειν αὐτὸν τόνδε τὸν ἆθλον. Ἀντιλέων δὲ κρύφα τὸ φρούριον ὑπελθὼν καὶ λοχήσας τὸν φύλακα τοῦ κώδωνος κατακαίνει, καὶ ἐπειδὴ ἀφίκετο πρὸς τὸ μειράκιον ἐπιτελέσας τὴν ὑπόσχεσιν, ἐν πολλῇ αὐτῷ εὐνοίᾳ ἐγένετο, καὶ ἐκ τοῦδε μάλιστα ἀλλήλους ἐφίλουν. Ἐπεὶ δὲ ὁ τύραννος τῆς ὥρας 3
ἐγλίχετο τοῦ παιδὸς καὶ οἷός τε ἦν αὐτὸν βίᾳ ἄγεσθαι, δυσανασχετήσας ὁ Ἀντιλέων ἐκείνῳ μὲν παρεκελεύσατο μὴ ἀντιλέγειν κινδυνεύειν, αὐτὸς δὲ οἴκοθεν

1 *Ἰταλικῇ* He. 2 *ἱππαρινος* P[1], acc. a P[2] [*ἦν*] del. Mein. 4 *πάν*^{υ} P 7 *πολλὰ* del. Hr. *προσφυεὶς* Legr. *ἔφ[η]* in ras. P 8 *ἂν τλῆναι* Mein. 9 *κελεύῃ* idem, *κελεύοι* P 11 *ἐφρουρειτο*, acc. a P[2] *ὑπό τον* P, corr. Gal.; in mg.: *τοῦ ἀρχελάου* P[1], quod Mein. in textum recepit. 12 *κατακομί[—σ]αι* P in ras. 13 [*ἄν*] Cob. *τελέσαι* Schneiderus 14 *ὑπεισελθὼν* Legr. 15 *κἀπειδὴ* Hr. 17 *κἀκ τοῦδε* idem 18 *τύρανος* (ν suprascr.) P 19 [*τε*] Cob. *αὐτὸ[ν]* in lit. P *βίᾳ ἄγεσθαι*] *βιάζεσθαι* Cob., *βίᾳ προσάγεσθαι* Hr. 21 *μὴ ἀντιλέγοντα κινδυνεύειν* Scaliger, *μὴ ἀντιλέγειν, κινδυνεύειν δ' αὐτὸς ..... ἀναιρεῖν* Legr., *μὴ ἀντιλέγειν μέλλοντι κινδυνεύειν* (vel

ἐξιόντα τὸν τύραννον προσδραμὼν ἀνεῖλεν· καὶ τοῦτο δράσας δρόμῳ ἵετο καὶ διέφυγεν ἄν, εἰ μὴ προβάτοις συνδεδεμένοις ἀμφιπεσὼν ἐχειρώθη. Διὸ τῆς πόλεως εἰς τἀρχαῖον ἀποκαταστάσης ἀμφοτέροις παρὰ τοῖς Ἡρακλεώταις ἐτέθησαν εἰκόνες χαλκαῖ, καὶ νόμος ἐγράφη μηδένα ἐλαύνειν τοῦ λοιποῦ πρόβατα συνδεδεμένα.

VIII. Περὶ Ἡρίππης.

[Ἱστορεῖ Ἀριστόδημος ὁ Νυσαεὺς ἐν α′ ἱστοριῶν περὶ τούτων, πλὴν ὅτι τὰ ὀνόματα ὑπαλλάττει, ἀντὶ Ἡρίππης καλῶν Γυθυμίαν, τὸν δὲ βάρβαρον Καυάραν.]

1 *Ὅτε δὲ οἱ Γαλάται κατέδραμον τὴν Ἰωνίαν καὶ
τὰς πόλεις ἐπόρθουν, ἐν Μιλήτῳ Θεσμοφορίων ὄντων
καὶ συνηθροισμένων γυναικῶν ἐν τῷ ἱερῷ, ὃ βραχὺ
τῆς πόλεως ἀπέχει, ἀποσπασθέν τι μέρος τοῦ βαρβαρι-
κοῦ διῆλθεν εἰς τὴν Μιλησίαν καὶ ἐξαπιναίως ἐπι-
δραμὸν ἀνεῖλεν τὰς γυναῖκας. Ἔνθα δὴ τὰς μὲν ἐρύ-
σαντο πολὺ ἀργύριόν τε καὶ χρυσίον ἀντιδόντες, τινὲς
δὲ τῶν βαρβάρων αὐταῖς οἰκειωθέντων ἀπήχθησαν,
ἐν δὲ αὐταῖς καὶ Ἡρίππη, γυνὴ Ξάνθου, ἀνδρὸς ἐν
Μιλήτῳ πάνυ δοκίμου γένους τε τοῦ πρώτου, παιδίον
2 ἀπολιποῦσα διετές. Ταύτης πολὺν πόθον ἔχων ὁ Ξάν-
θος, ἐξηργυρίσατο μέρος τῶν ὑπαργμάτων καὶ κατα-
σκευασάμενος χρυσοῦς δισχιλίους τὸ μὲν πρῶτον εἰς*

μὴ ἀντιλέγειν κινδυνεύσοντι He. 2 *ἴετο* P, corr. Mein. cf. **Varro de r. r. II 9, 6; Theophr. hist. plant. IX 16.** 5 *χαλκαί* P^1, corr. P^2 7 *Ἠρίππης* Corn. 8 *Νησαεὺς* idem 11 *οἱ*| *Γαλάται* **P fol. 177ᵛ** 12 [*ϑ*]*εσμοφορίων* in ras. P 13 ⟨*τῶν*⟩ *γυναικῶν* Schneiderus *συνηθροσμένων* (ι suprascr.) P 16 *εἷλεν* Legr. *γυναικας* P *μ*[*ὲ*]*ν* [*ἐ*]*ρύσαντο* P in ras., *ἐρρύσαντο* Hr. 18 *αὐταῖς* del. Hir. 19 *γυνὴ ἡ Ξάνθου* P, *ἣν Ξ.* Legr. 20 *μ*[*ι*]*λήτωι* P in ras. [*γένους τε τοῦ πρώτου*] Hir. 23 *δισχιλίους* Pass., *χιλίους* P

*Ἰταλίαν ἐπεραιώθη, ἐντεῦθεν δὲ ὑπὸ ἰδιοξένων τινῶν
κομιζόμενος εἰς Μασσαλίαν ἀφικνεῖται κἀκεῖθεν εἰς
τὴν Κελτικήν· καὶ προσελθὼν τῇ οἰκίᾳ, ἔνθα αὐτοῦ
συνῆν ἡ γυνὴ ἀνδρὶ τῶν μάλιστα παρὰ Κελτοῖς δοξα-
ζομένων, ὑποδοχῆς ἐδεῖτο τυχεῖν. Τῶν δὲ διὰ φιλο-
ξενίαν ἑτοίμως αὐτὸν ὑποδεξαμένων εἰσελθὼν ὁρᾷ τὴν
γυναῖκα, καὶ αὐτὸν ἐκείνη τὼ χεῖρε ἀμφιβαλοῦσα μάλα
φιλοφρόνως προσηγάγετο. Παραχρῆμα δὲ τοῦ Κελτοῦ* **3**
*παραγενομένου διεξῆλθεν αὐτῷ τήν τε ἄλην τἀνδρὸς
ἡ Ἡρίππη, καὶ ὡς αὐτῆς ἕνεκα [καὶ] ἥκοι λύτρα κατα-
θησόμενος· ὁ δὲ ἠγάσθη τῆς ψυχῆς τὸν Ξάνθον καὶ
αὐτίκα συνουσίαν ποιησάμενος τῶν μάλιστα προση-
κόντων ἐξένιζεν αὐτόν· παρατείνοντος δὲ τοῦ πότου
τὴν γυναῖκα συγκατακλίνει αὐτῷ καὶ δι' ἑρμηνέως
ἐπυνθάνετο, πηλίκην οὐσίαν εἴη κεκτημένος τὴν σύμ-
πασαν· τοῦ δὲ εἰς ἀριθμὸν χιλίων χρυσῶν φήσαντος
ὁ βάρβαρος εἰς τέσσαρα μέρη κατανέμειν αὐτὸν ἐκέ-
λευε καὶ τὰ μὲν τρία ὑπεξαιρεῖσθαι αὑτῷ, γυναικί,
παιδίῳ, τὸ δὲ τέταρτον ἀπολείπειν ἄποινα τῆς γυναι-
κός. Ὡς δὲ εἰς κοῖτόν ποτε ἀπετράπετο, πολλὰ κατε-* **4**
*μέμφετο τὸν Ξάνθον ἡ γυνὴ διὰ τὸ μὴ ἔχοντα το-
σοῦτο χρυσίον ὑποσχέσθαι τῷ βαρβάρῳ κινδυνεύσειν
τε αὐτὸν, εἰ μὴ ἐμπεδώσειε τὴν ἐπαγγελίαν· τοῦ δὲ
φήσαντος ἐν ταῖς κρηπῖσι τῶν παίδων καὶ ἄλλους
τινὰς χιλίους χρυσοῦς κεκρύφθαι διὰ τὸ μὴ ἐλπίζειν
ἐπιεικῆ τινα βάρβαρον καταλήψεσθαι, δεήσειν δὲ πολ-*

3 *κελκτικήν* P 4 *πα[ρ]ὰ* in lit. P 9 *δ[ιε]ξῆλθεν* P² in ras. *ἄλην* P 10 [*καὶ*] expunxit Ba., in *μὲν* mutavit Legr., post *ἥκοι* inseruit Pass. *λ[ύ]τρα* P in ras. 14 post *αὐτῷ* lacunam indic. Mein. 15 *κεκτη|μένος* **P fol. 178ʳ** 18 *αὐτῷ* P 20 *εἰς*] *ἐς* P *ποτὲ* P *ἀπετράποντο* Hr. 23 *τὲ* P *ἐμπε-δώσει* Cob. 24 *ἄλλούς τινας χρυσοὺς* P 26 *τινα*] *τὸν* Hr.

*λῶν λύτρων, ἡ γυνὴ τῇ ὑστεραίᾳ τῷ Κελτῷ κατα-
μηνύει τὸ πλῆθος τοῦ χρυσοῦ καὶ παρεκελεύσατο κτεῖ-
ναι τὸν Ξάνθον, φάσκουσα πολὺ μᾶλλον αἱρεῖσθαι
4 αὐτὸν τῆς τε πατρίδος καὶ τοῦ παιδίου· τὸν μὲν γὰρ
5 Ξάνθον παντάπασιν ἀποστυγεῖν. Τῷ δὲ ἄρα οὐ πρὸς
ἡδονῆς ἦν τὰ λεχθέντα, ἐν νῷ δὲ εἶχεν αὐτὴν τίσα-
σθαι. Ἐπειδὴ δὲ ὁ Ξάνθος ἐσπούδαζεν ἀπιέναι, μάλα
φιλοφρόνως προὔπεμπεν ὁ Κελτὸς, ἐπαγόμενος καὶ τὴν
6 Ἡρίππην· ὡς δὲ ἐπὶ τοὺς ὅρους τῆς Κελτῶν χώρας
ἀφίκετο, θυσίαν ὁ βάρβαρος ἔφη τελέσαι βούλεσθαι,
πρὶν αὐτοὺς ἀπ' ἀλλήλων χωρισθῆναι, καὶ κομισθέν-
τος ἱερείου τὴν Ἡρίππην ἐκέλευεν ἀντιλαβέσθαι· τῆς
δὲ κατασχούσης, ὡς καὶ ἄλλοτε σύνηθες αὐτῇ, ἐπανα-
τεινάμενος τὸ ξίφος καθικνεῖται καὶ τὴν κεφαλὴν
αὐτῆς ἀφαιρεῖ, τῷ δὲ Ξάνθῳ παρεκελεύετο μὴ δυσφο-
ρεῖν, ἐξαγγείλας τὴν ἐπιβουλὴν αὐτῆς, ἐπέτρεπέ τε τὸ
χρυσίον ἅπαν κομίζειν αὐτῷ.*

IX. Περὶ Πολυκρίτης.

[Ἡ ἱστορία αὕτη ἐλήφθη ἐκ τῆς α' Ἀνδρίσκου Ναξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ' ⟨τῶν⟩ πρὸς τοὺς καιρούς.]

1 *Καθ' ὃν δὲ χρόνον ἐπὶ Ναξίους Μιλήσιοι συνέβη-
σαν σὺν ἐπικούροις καὶ τεῖχος πρὸ τῆς πόλεως ἐνοι-
κοδομησάμενοι τήν τε χώραν ἔτεμνον καὶ καθείρξαντες
τοὺς Ναξίους ἐφρούρουν, τότε παρθένος ἀπολειφθεῖσα*

6 *ἡδονὴν* Hr. 10 *ἀφίκοντο* Hir. 12 *ἐκέλευεν* P, *κέλευεν* Corn., *κελεύει* Legr. 13 *σύνηθες ⟨ἦν⟩ αὐτῇ* Legr. 15 *δὲ* *, *τε* P 17 *κο[— —]μίζειν* P in ras. *αὐτῷ* P, corr. Mein. 18 **incip. P fol. 178ᵛ** 20 ⟨*τῶν*⟩ add. Legr., pro *δ'*, quod est in P, *ια'* Corn., *α'* Gal. 21 *μετέβησαν* (vel *κατέβησαν*) Legr., *ἔβησαν* Hr., *ἐπεξίεσαν* He. 22 *ἐποικοδομησάμενοι* Legr. 24 *ἀπολῃφθεῖσα* Mein.

*κατά τινα δαίμονα ἐν Δηλίῳ ἱερῷ, ὃ πλησίον τῆς πό-
λεως κεῖται, (Πολυκρίτη ὄνομα αὐτῇ) τὸν τῶν Ἐρυ-
θραίων ἡγεμόνα Διόγνητον εἷλεν, ὃς οἰκείαν δύναμιν
ἔχων συνεμάχει τοῖς Μιλησίοις. Πολλῷ δὲ ἐνεχόμενος* 2
*πόθῳ διεπέμπετο πρὸς αὐτήν· οὐ γὰρ δή γε θεμιτὸν
ἦν ἱκέτιν οὖσαν ἐν τῷ ἱερῷ βιάζεσθαι· ἡ δὲ ἕως μέν
τινος οὐ προσίετο τοὺς παραγινομένους, ἐπεὶ μέντοι
πολὺς ἐνέκειτο, οὐκ ἔφη πεισθήσεσθαι αὐτῷ, εἰ μὴ
ὀμόσειεν ὑπηρετήσειν αὐτῇ, ὅ τι ἂν βουληθῇ. Ὁ δὲ
Διόγνητος οὐδὲν ὑποτοπήσας τοιόνδε μάλα προθύμως
ὤμοσεν Ἄρτεμιν, χαριεῖσθαι αὐτῇ, ὅ τι ἂν προαιρῆται·
κατομοσαμένου δὲ ἐκείνου [καὶ] λαβομένη τῆς χειρὸς
αὐτοῦ ἡ Πολυκρίτη μιμνήσκεται περὶ προδοσίας τοῦ
χωρίου καὶ πολλὰ καθικετεύει αὐτήν τε οἰκτείρειν
καὶ τὰς συμφορὰς τῆς πόλεως. Ὁ ⟨δὲ⟩ Διόγνητος* 3
*ἀκούσας τοῦ λόγου ἐκτός τε ἐγένετο αὑτοῦ καὶ σπα-
σάμενος τὴν μάχαιραν ὥρμησεν διεργάσασθαι τὴν
κόρην. Ἐν νῷ μέντοι λαβὼν τὸ εὔγνωμον αὐτῆς καὶ* 4
*ἅμα ὑπ' ἔρωτος κρατούμενος (ἔδει γάρ, ὡς ἔοικε, καὶ
Ναξίοις μεταβολὴν γενέσθαι τῶν παρόντων κακῶν)
τότε μὲν οὐδὲν ἀπεκρίνατο βουλευόμενος τί ποιητέον
εἴη, τῇ δ' ὑστεραίᾳ καθωμολογήσατο προδώσειν. Καὶ* 5
ἐν τούτῳ δὴ τοῖς Μιλησίοις ἑορτὴ μετὰ ⟨τὴν⟩ τρίτην

1 *Δηλίας* Gal., sed cf. **Plut. de mul. virt. p. 254 F** 4 *συνεχόμενος* Cob. 7 *προσ[ί]ετο* in lit. P 9 *ὑπηρετήσειν* Gal., *ὑπηρετήσειεν* P 10 [*ὑ*]*ποτοπήσας* P in ras. [*τοιόνδε*] Hr. in Herm. XII p. 146 11 *χαριεῖσθαιτῇ* (supra scr. *αν*, *ι*) P 12 *κατομοσαμέν*[*ου* ÷] *δὲ* in ras. P *καὶ λαβομένη* P, *ἐπιλαβομένη* del. *καὶ* Legr., *καὶ* tantum del. Ba. 14 *καθικετεύειν* P, corr. Legr. 15 *κ*[*α*]*ὶ* in ras. P ⟨*δὲ*⟩ ins. Mein., ⟨*μὲν*⟩ Legr., ⟨*μὲν οὖν*⟩ Schneiderus 16 *αὐτοῦ* P, *αὑτοῦ* Corn. 18 *μέντ*[*οι*—] in lit. P 19 *καὶ* eiecit Hr. 22 *ὑστερ*[*αί*]*αι* P in ras. 23 *ἐν τούτῳ* Schneiderus, *καὶ ἐν τῷ δὴ* P, *κἀν τῷδε* Hr. *μ*[*ιλ*]*ησίοις* in ras. P ⟨*τὴν*⟩ *

ἡμέραν Θαργήλια ἐπήει, ἐν ᾗ πολύν τε ἄκρατον εἰσφοροῦνται καὶ τὰ πλείστου ἄξια καταναλίσκουσι· τότε παρεσκευάζετο προδιδόναι τὸ χωρίον, καὶ εὐθέως διὰ τῆς Πολυκρίτης ἐνθέμενος εἰς ἄρτον μολυβδίνην ἐπιστολὴν ⟨ἐπιστέλλει⟩ τοῖς ἀδελφοῖς αὐτῆς (ἐτύγχανον δὲ ἄρα τῆς πόλεως ἡγεμόνες οὗτοι), ὅπως εἰς ἐκείνην τὴν νύκτα παρασκευασάμενοι ἥκωσιν· σημεῖον δὲ αὐτοῖς

6 ἀνασχήσειν αὐτὸς ἔφη λαμπτῆρα. Καὶ ἡ Πολυκρίτη δὲ τῷ κομίζοντι τὸν ἄρτον φράζειν ἐκέλευε τοῖς ἀδελφοῖς μὴ ἐνδοιᾶσθαι, ὡς τῆς πράξεως ἐπὶ τέλος ἀχθησομένης, εἰ μὴ ἐκεῖνοι ἐνδοιασθεῖεν. Τοῦ δὲ ἀγγέλου ταχέως εἰς τὴν πόλιν ἐλθόντος Πολυκλῆς, ὁ τῆς Πολυκρίτης ἀδελφὸς, ἐν πολλῇ φροντίδι ἐγίνετο, εἴτε πεισθείη τοῖς ἐπεσταλμένοις εἴτε μή· τέλος δὲ ὡς ἐδόκει πᾶσι πείθεσθαι καὶ νὺξ ἐπῆλθεν, ἐν ᾗ προσετέτακτο πᾶσι παραγίνεσθαι, πολλὰ κατευξάμενοι τοῖς θεοῖς δεχομένων αὐτοὺς τῶν ἀμφὶ Διόγνητον ἐσπίπτουσιν εἰς τὸ τεῖχος τῶν Μιλησίων, οἱ μέν τινες κατὰ τὴν ἀνεῳγμένην πυλίδα, οἱ δὲ καὶ τὸ τεῖχος ὑπερελθόντες, ἀθρόοι τε ἐντὸς γενόμενοι κατέκαινον τοὺς Μιλησίους· ἔνθα δὴ κατ' ἄγνοιαν ἀποθνήσκει καὶ ὁ Διό-

7 γνητος. Τῇ δ' ἐπιούσῃ οἱ Νάξιοι πάντες πολὺν πόθον

1 ἐμφοροῦνται Lennep. ad Phal. p. 27 2 τότε ⟨οὖν⟩ Schneiderus, ⟨δὴ⟩ Mein., ⟨ἄρα⟩ Martinius 3 παρεσκευά|ζετο **P fol. 179r** 4 μολυβδ[ί]νην P in ras., in mg. glossa: τὴν μολυβδίνην ἐπιστολήν. 5 ⟨ἐπιστέλλει⟩ vel ⟨σημαίνει⟩ ins. Legr. 6 ⟨ὄντες⟩ post ἡγεμόνες Hir. ἐκείνη[ν] P in lit. 7 ἥκων P (σι supra) 10 μὴ] μηδ' Valckenaer. diatr. in Eur. p. 109 ἐνδ[οι]ᾶσθαι P in ras., ἐνδοιάσασθαι Legr., ἐνδοιασθῆναι Pass. 12 πολυκρίτ[ης] P in ras. 13 πεισθήσοιτο Cob. 14 ἐπεσταμένοις P, sed corr. P[1] 15 νῦξ P 16 πᾶσι exp. Hr. 17 εἰσδεχομένων Cob. 18 μιλησί[ω]ν P in ras. τὴν om. edit. ad West., κατ' ἀν. Legr. 19 ἀνεω[γ]μένην P in ras. 20 τὲ P κατέκτεινον Corn. 21 ἀποθνήισκει P 22 δ' P, δὲ vulgo νά-

εἶχον † βιάσασθαι τὴν κόρην· καὶ οἱ μέν τινες αὐτὴν μίτραις ἀνέδουν, οἱ δὲ ζώναις, αἷς βαρηθεῖσα ἡ παῖς διὰ ⟨τὸ⟩ πλῆθος τῶν ἐπιρριπτουμένων ἀπεπνίγη. Καὶ αὐτὴν δημοσίᾳ θάπτουσιν ἐν τῷ πεδίῳ πάντα ἕκατον ἐναγίσαντες αὐτῇ· φασὶ δέ τινες καὶ Διόγνητον ἐν τῷ αὐτῷ καῆναι, ἐν ᾧ καὶ ἡ παῖς, σπουδασάντων Ναξίων.

X. Περὶ Λευκώνης.

Ἐν δὲ Θεσσαλίᾳ Κυάνιππος, υἱὸς Φάρακος, μάλα 1
καλῆς παιδὸς εἰς ἐπιθυμίαν Λευκώνης ἐλθών, παρὰ
τῶν πατέρων αἰτησάμενος αὐτὴν ἠγάγετο γυναῖκα.
Ἦν δὲ φιλοκύνηγος, ⟨καὶ⟩ μεθ' ἡμέραν μὲν ἐπί τε
λέοντας καὶ κάπρους ἐφέρετο, νύκτωρ δὲ κατῄει πάνυ
κεκμηκὼς πρὸς τὴν κόρην, ὥστε μηδὲ διὰ λόγων
⟨συγ⟩γινομένου αὐτῇ ⟨αὐτίκα⟩ εἰς βαθὺν ὕπνον κατα-
φέρεσθαι. Ἡ δ' ἄρα ὑπό τε ἀνίας καὶ ἀλγηδόνων 2
συνεχομένη ἐν πολλῇ ἀμηχανίᾳ ἦν σπουδήν τε ἐποι-
εῖτο κατοπτεῦσαι τὸν Κυάνιππον, ὅ τι ποιῶν ἥδοιτο
τῇ κατ' ὄρος διαίτῃ· αὐτίκα δὲ εἰς γόνυ ζωσαμένη

*ξιο*ι P 1 *βιάσασθαι* P, *θεάσασθαι* Gal., *ἀσπάσασθαι* Legr., *τίσασθαι* Teucherus, *ταινιάσασθαι* vel *ταινιάσαι* Kayserus, *τιμᾶσθαι* (sive *χαρίσασθαι τῇ κόρῃ*) Roulezius in *Bullet. de l'ac. de Brux.* II p. 404, *ἱλάσασθαι* Mein. *τινες* Hr., *τισιν* P 2 *μίτραις*] *ταινίαις* Iacobs. Anth. IX p. 264 *αἷς* et *ρ* in *βαρηθεῖσα* suprascr. in P 3 ⟨*τὸ*⟩ ins. Hr. *ἐπιριπτουμένων* P, in mg. signum glossae *ἀπεπνίγ*[*η* ÷ ÷] *καὶ* in ras. P 4 *πάντα ἕκατον*] *πάντα ἐνιαυτὸν* aut *λυκάβαντα ἕκαστον* Legr. 6 ⟨*τῶν*⟩ *Ναξίων* Cob. 7 **cf. Plut. parall. min. p. 810 E;** in fine pag.: *ὅ* (with *υ* above), de quo signo v. praef. *Λευκώνης* | *ἐλθὼν* **P fol. 179v** *Λευκώνης εἰς ἐπιθυμίαν ἐλθὼν* Hir. 11 ⟨*καὶ*⟩ Mein. 13 *πρὸς κόρην* West. *μὴ δὲ διαλόγων γινόμεν* (with *ον* above) P, *διὰ λόγου συγγινόμενον* Gal. 14 ⟨*αὐτίκα*⟩ * *εἰς*] vulgo *ἐς*, sed cf. Hr. praef. p. VI

κρύφα τῶν θεραπαινίδων εἰς τὴν ὕλην καταδύνει.
Αἱ δὲ τοῦ Κυανίππου κύνες ἐδίωκον μὲν ἔλαφον,
οὖσαι δὲ οὐ πάνυ κτίλοι, ἅτε δὴ ἐκ πολλοῦ ἠγριω-
4 *μέναι, ὡς ὠσφρήσαντο τῆς κόρης, ἐπηνέχθησαν αὐτῇ*
3 *καὶ μηδενὸς παρόντος πᾶσαν διεσπάραξαν. Καὶ ἡ μὲν*
διὰ πόθον ἀνθρὸς κουριδίου ταύτῃ τέλος ἔσχε, Κυά-
νιππος δέ, ὡς ἐπελθὼν κατελάβετο λελωβημένην τὴν
Λευκώνην, μεγάλῳ τε ἄχει ἐπληρώθη καὶ ἀνακαλεσά-
μενος τοὺς ἀμφ' αὐτὸν ἐκείνην μὲν πυρὰν νηήσας ἐπέ-
θετο, αὐτὸς δὲ πρῶτον μὲν τὰς κύνας ἐπικατέσφαξε
τῇ πυρᾷ, ἔπειτα δὲ πολλὰ ἀποδυράμενος τὴν παῖδα
διεχρήσατο ἑαυτόν.

XI. Περὶ Βυβλίδος.

[Ἱστορεῖ Ἀριστόκριτος περὶ Μιλήτου καὶ Ἀπολλώνιος ὁ Ῥόδιος Καύνου κτίσει.]

1 *Περὶ δὲ Καύνου καὶ Βυβλίδος, τῶν Μιλήτου παί-*
δων, διαφόρως ἱστορεῖται. Νικαίνετος μὲν γάρ φησι
τὸν Καῦνον ἐρασθέντα τῆς ἀδελφῆς, ὡς οὐκ ἔληγε τὸ
πάθος, ἀπολιπεῖν τὴν οἰκίαν καὶ ὁδεύσαντα πόρρω τῆς
οἰκείας χώρας πόλιν τε κτίσαι καὶ τοὺς ἀπεσκεδασμέ-
2 *νους τότε Ἴωνας ἐνοικίσαι. Λέγει δὲ ἔπεσι τοῖσδε·*

αὐτὰρ ὅ γε προτέρωσε κιὼν Οἰκούσιον ἄστυ

1 *θεραπ[αι]νίδων* in ras. P 6 nonne poetam redolent verba: *ἀνδρὸς κουριδίου ταύτῃ τέλος ἔσχε?* 7 *κατέλαβε* Cob. [*τὴν*] *Λευκώνην* om. Legr. 8 *μεγάλῳ τὲ ἄχει* P, *μεγάλου τε ἄχους* Hr. 9 *ἀμφ' αὐτὸν* Corn., *ἀμφὶ αὐτὸν* Gal. *νηήσας* P, *νήσας* Schneiderus *ἐπέθετο* Hir., *ἐνέθετο* P 11 *ἀπο-δυρόμενος* P, corr. Cob. 13 ΒΙΒΛΙΔΟC P 14 *περὶ Μιλή-του* om. Corn. 16 *βιβλίδος* P 17 *φησὶ* P 18 *τὸ πάθος* * Annal. philol. 1894 p. 463, *τοῦ πάθους* P 20 *τὲ* P 21 *συν-οικίσαι* Martinius *λέγω*^{ει} P 22 *οικουσιον* P; cf. **Steph. Byz.**

κτίσσατο, Τραγασίῃ δὲ Κελαινοῦς εἴχετο παιδί,
ἥ οἱ Καῦνον ἔτικτεν ἀεὶ φιλέοντα θέμιστας·
γείνατο δὲ ῥαδαλῆς ἐναλίγκιον ἀρκεύθοισι
Βυβλίδα, τῆς ἤτοι ἀέκων ἠράσσατο Καῦνος·
* * * * * * * *
βῆ † δεφερενδιος φεύγων ὀφιώδεα † Κύπρον
καὶ † Κάπρος ὑλιγενὲς καὶ Κάρια ἱρὰ λοετρά·
ἔνθ' ἤτοι πτολίεθρον ἐδείματο πρῶτος Ἰώνων.
αὐτὴ δὲ γνωτή, ὀλολυγόνος οἶτον ἔχουσα,
Βυβλὶς ἀποπρὸ Πυλῶν Καύνου ὠδύρατο νόστον.

Οἱ δὲ πλείους τὴν Βυβλίδα φασὶν ἐρασθεῖσαν τοῦ 3 *Καύνου λόγους αὐτῷ προσφέρειν καὶ δεῖσθαι μὴ περιιδεῖν αὐτὴν εἰς πᾶν κακὸν προελθοῦσαν· ἀποστυγήσαντα δὲ οὕτως τὸν Καῦνον περαιωθῆναι εἰς τὴν τότε ὑπὸ Λελέγων κατεχομένην γῆν, ἔνθα κρήνη Ἐχενηὶς, πόλιν τε κτίσαι τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Καῦνον· τὴν δὲ ἄρα ὑπὸ τοῦ πάθους μὴ ἀνιεμένην, πρὸς δὲ*

p. 605, schol. Dionys. Per. 825 1 *κτί[σ]σατο* in ras. P *Τραγασίην δὲ Κελαινοῦς ἤγετο παῖδα* Heckerus in Philol. 1850 p. 415 *Κελαινοῦς* Is. Vossius ad Pomp. Mel. I 16, *καλαινέες* P, *Κελαινέος* Pass., *Καλαινοῦς* (vel *Κελαινόος*?) Mein., *κα|λαινέες* **P fol. 180ʳ** 3 *δ' ἐραδαλῆις* P, corr. Vossius 4 *βιβλίδα* P 5 lacunam statuit Mein. 6 sic P, *βῆ δὲ φερένδιος* Corn., *βῆ δ' ἐπ' ἔραν Δίας* Vossius, *βῆ δ' ὅ γ' ἄφαρ δέννους* Iacobs. ad Anth. VII p. 233, *βῆ δὲ πέρην Δίας* Pass., *βῆ δ' ἄφαρ ἔνδιος* Kayserus *ὀφιώδεα Κύπρον* P, *φρικώδεα Κ.* Iacobs., *ὀφιώδεα Κάπρον* He. 7 *Κάπρος ὑλιγενὲς* P, *Κράγος* Vossius, *Κράγον ὑλιγενῆ* vel *Κάπρος ἠλιτενὲς* Mein., *ὑψιτενῆ* vel *ὑψιτενὲς* Heckerus *Καρῶν* He. *ἱρὰ*] *ἵκτο* Mein., qui post hunc versum lacunam statuit 8 *ἐ[δ]είματο* in ras. P 9 *αὐτὴ δὲ γνωτὴ* P, *αὐτῇ* Corn., *αὐτοκασιγνήτη* Legr. *οἶκτον* Corn. 10 *ἀποπρὸ πυλῶν* P, *ἀπὸ προπυλῶν* Corn., *ἀπὸ προπύλων* Brunckius in Anal. I p. 417 11 *βιβλ[ί]δα* in lit. P 13 *πᾶν κακοῦ* Cob. 14 *οὕτως* P, *τοὔπος* Legr., *τὸν Καῦνον οὕτως περαιωθῆναι* Schneiderus; fortasse lacuna post *οὕτως* statuenda 15 *κρήνη* [÷] *Ἐχενηὶς* P in ras. 16 *τὲ* P 17 *ἀνεμένην* (ι supra ε) P

καὶ δοκοῦσαν αἰτίαν γεγονέναι Καύνῳ τῆς ἀπαλλαγῆς, ἀναψαμένην ἀπό τινος δρυὸς τὴν μίτραν ἐνθεῖναι τὸν
4 *τράχηλον. Λέγεται δὲ καὶ παρ' ἡμῖν οὕτως·*

ἡ δ' ὅτε δή ⟨ϱ'⟩ ὀλοοῖο κασιγνήτου νόον ἔγνω,
κλαῖεν † ἀδονίδων θαμινώτερον, αἵτ' ἐνὶ βήσσῃς
Σιθονίῳ κούρῳ πέρι μυρίον αἰάζουσιν·
καί ῥα κατὰ στυφελοῖο σαρωνίδος αὐτίκα μίτρην
ἀψαμένη δειρὴν ἐνεθήκατο, ταὶ δ' ἐπ' ἐκείνῃ
βεύδεα παρθενικαὶ Μιλησίδες ἐρρήξαντο.

Φασὶ δέ τινες καὶ ἀπὸ τῶν δακρύων κρήνην ῥυῆναι ἰδίᾳ τὴν καλουμένην Βυβλίδα.

XII. Περὶ Κάλχου.

1 *Λέγεται δὲ καὶ Κίρκης, πρὸς ἣν Ὀδυσσεὺς ἦλθε, Δαύνιόν τινα Κάλχον ἐρασθέντα τήν τε βασιλείαν ἐπιτρέπειν τὴν Δαυνίων αὐτῇ καὶ ἄλλα πολλὰ μειλίγματα παρέχεσθαι, τὴν δὲ ὑποκαιομένην Ὀδυσσέως (τότε γὰρ ἐτύγχανε παρὼν) ἀποστυγεῖν τε αὐτὸν καὶ κωλύειν*
2 *ἐπιβαίνειν τῆς νήσου. Ἐπεὶ μέντοι οὐκ ἀνίει φοιτῶν καὶ διὰ στόμα ἔχων τὴν Κίρκην, μάλα ἀχθεσθεῖσα*

1 *δοκοῦσ*^αν P 4 ⟨ϱ'⟩ ins. Legr. *κάσιγνήτου* P 5 *κλαῖεν* Δ· *ἀονίδων* P, *ἀηδονίδων* Dan. Heinsius ad Hesych. v. *βεῦδος*, *ἀδωνιάδων* Kayserus, *ἔκλαι' ἀδονίδων* (vel *κλαῖεν ἄρ' ἀδονίδων*) Mein. *ἀδινώτερον* Ruhnken. ep. crit. p. 135 *βήσσῃ* Corn. 6 *Σιδονίῳ* Kayserus *κρουνῷ* Legr. *περι* P, *περὶ* Corn., *πέρι* Legr. 7 *μ[ί]τρην* in ras. P 8 *ται*[\`] acc. in ras. P 9 *βεύδεα*] **Hesych.** s. v. *βεῦδος· στέμμα τι, καὶ ἱμάτιον γυναικεῖον* 11 *βυβλίδα* P[2] de fonte Byblide cf. **Cononis narr. II, Theocrit. VII 115, Nonn. Dionys. XIII 560 sqq.** 12 de fabula cf. Geffcken. *Phil. Unters.* XIII p. 15, adn. 3. 16 *ὑποκαομένην* Hir. *Ὀδυσσέως* | *τότε* **P fol. 180**[v] 17 *ἔτυγχανε* P 18 *τῇ νήσῳ* Hir., *τῆς εὐνῆς* Naberus in Mnemos. N., S. XX p. 337

*ὑπέρχεται αὐτὸν καὶ αὐτίκα εἰσκαλεσαμένη τράπεζαν αὐτῷ παντοδαπῆς θοίνης πλήσασα παρατίθησιν· ἦν δ' ἄρα φαρμάκων ἀνάπλεω τὰ ἐδέσματα, φαγών τε ὁ Κάλχος εὐθέως παραπλὴξ γίνεται, καὶ αὐτὸν * * * ἤλασεν εἰς συφεούς. Ἐπεὶ μέντοι μετὰ χρόνον Δαύ-* **3**
νιος στρατὸς ἐπήει τῇ νήσῳ ζήτησιν ποιούμενος τοῦ Κάλχου, μεθίησιν αὐτὸν πρότερον· ὁρκίοις καταδησαμένη μὴ ἀφίξεσθαί ποτε εἰς τὴν νῆσον μήτε μνηστείας μήτε ἄλλου του χάριν.

XIII. Περὶ Ἁρπαλύκης.

[Ἱστορεῖ Εὐφορίων Θρᾳκὶ καὶ † Δεκτάδας.]

Κλύμενος δὲ ὁ Τελέως ἐν Ἄργει γήμας Ἐπικάστην **1**
γεννᾷ παῖδας, ἄρρενας μὲν Ἴδαν καὶ Θήραγρον, θυγατέρα δὲ Ἁρπαλύκην πολύ τι τῶν ἡλίκων θηλειῶν κάλλει διαφέρουσαν. Ταύτης εἰς ἔρωτα ἐλθὼν χρόνον μέν τινα ἐκαρτέρει καὶ περιῆν τοῦ παθήματος· ὡς δὲ πολὺ μᾶλλον αὐτὸν ὑπέρρει τὸ νόσημα, τότε διὰ τῆς τροφοῦ κατεργασάμενος τὴν κόρην λαθραίως αὐτῇ συνῆλθεν. Ἐπεὶ μέντοι γάμου καιρὸς ἦν καὶ παρῆν Ἀλάστωρ, **2**
εἷς τῶν Νειλειδῶν, ἀξόμενος αὐτήν, ᾧ καθωμολόγητο, παραχρῆμα μὲν ἐνεχείρισε πάνυ λαμπροὺς γάμους δαί-

4 *γίνεται* *, *ἵεται* P, *ἵσται* Corn., *ἵσταται* Gal., *ᾖστο* Legr., *ἵεται* Mein., *γίγνεται* Hir. lacunam indicavi Annal. philol. 1894 p. 463 forsitan sic explendam: [*μεταβαλοῦσα εἰς σῦν*] 9 *μὴ* [÷ ÷] *τε* in ras. P *ἄλλού του* P 11 ΔΕΚΤΑΔΑC P, *Διευχίδας* Gal., *Ἀθανάδας* Ba., *Ἀρητάδας* Cob. 12 Harpalycae fabulam enarratam vides: **schol. Hom. Il. Ξ 291, Nonn. Dionys. XII 72;** Clymenus non Telei, sed Schoenei f. ap. **Hygin. fab. 206** 14 *θηλείων* P 15 post *ἐλθὼν* ins. *Κλύμενος* Gal. 18 *λαθραί*[—]*ως* in ras. P 20 *νηλείδων* P *ᾧ καθωμολόγητο* pro glossemate habet Hr., fortasse rectius transponas ante *ἀξόμενος αὐτὴν*

σας· μεταγνοὺς δὲ οὐ πολὺ ὕστερον διὰ τὸ ἔκφρων εἶναι καταθεῖ τὸν Ἀλάστορα καὶ περὶ μέσην ὁδὸν αὐτῶν ἤδη ὄντων ἀφαιρεῖται τὴν κόρην ἀγόμενός τε
3 *εἰς Ἄργος ἀναφανδὸν αὐτῇ ἐμίσγετο. Ἡ δὲ δεινὰ καὶ ἔκνομα πρὸς τοῦ πατρὸς ἀξιοῦσα πεπονθέναι τὸν νεώτερον ἀδελφὸν κατακόπτει καί τινος ἑορτῆς καὶ θυσίας παρ' Ἀργείοις τελουμένης, ἐν ᾗ δημοσίᾳ πάντες εὐωχοῦνται, [καὶ] τότε σκευάσασα τὰ κρέα τοῦ παιδὸς παρατίθησι τῷ πατρί. Καὶ ταῦτα δράσασα αὐτὴ μὲν εὐξαμένη θεοῖς ἐξ ἀνθρώπων ἀπαλλαγῆναι μεταβάλλει τὴν ὄψιν εἰς χαλκίδα ὄρνιν, Κλύμενος δὲ, ὡς ἔννοιαν ἔλαβε τῶν συμφορῶν, διαχρῆται ἑαυτόν.*

XIV. Περὶ Ἀνθέως.

[Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά.]

1 *Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεὺς, ἐκ βασιλείου γένους, ὡμήρευσε παρὰ Φοβίῳ, ἑνὶ τῶν Νειλειδῶν, τότε κρατοῦντι Μιλησίων. Τούτου Κλεόβοια, ἣν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνὴ, ἐρασθεῖσα πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. Ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο, ποτὲ μὲν φάσκων ὀρρωδεῖν μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία Ξένιον καὶ κοινὴν*

2 *μεταθεῖ* Schneiderus 3 *αὐτ[ῶ]ν* in ras. P *ἀγαγόμενος* Hr. 5 *ἀξιοῦσα*] *δόξασα* Legr. *τὸν νεώτερον ἀδελφὸν*] *Πρέσβων* appellatur in schol. Hom. l. l. 6 *καὶ* | *θυσίας* P fol. 181r 7 *δ[η]μοσία* (ι suprascr.) P in lit. 8 [*καὶ*] aut *τότε κατασκευάσασα* Legr. 9 *δράσα* P^1, alterum *σα* add. P^2 11 *χαλκίδα* Schneiderus, *καλχίδα* P 15 ⟨*Ἀσσησοῦ*⟩ *παῖς* Naberus in Mnemos. N. S. XX p. 337 *παῖς* [—] *ἀνθεὺς* P in ras. *Ἄνθης* Gavelius in obss. misc. nov. IV p. 243 16 *ἑνὶ* (vel *ἐκ*) Gal., *ἐπὶ* P *νειλειδων* P, *Νηλειδῶν* vulg. 19 *ἐμηχανᾶτο* (ι suprascr.) P 20 *ὀρρωιδεῖν* P

*τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη
ἐν νῷ εἶχε τίσασθαι αὐτὸν, ἀνηλεῆ τε καὶ ὑπέραυχον
ἀποκαλουμένη. Ἔνθα δὴ χρόνου προϊόντος τοῦ μὲν* 2
*ἔρωτος ἀπηλλάχθαι προσεποιήθη, πέρδικα δὲ τιθασσὸν
εἰς βαθὺ φρέαρ κατασοβήσασα ἐδεῖτο τοῦ Ἀνθέως,
ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν· τοῦ δὲ ἑτοίμως ὑπακούσαντος
διὰ τὸ μηδὲν ὑφορᾶσθαι ἡ Κλεόβοια ἐπισείει
στιβαρὸν αὐτῷ πέτρον· καὶ ὁ μὲν παραχρῆμα
ἐτεθνήκει, ἡ δὲ ἄρα ἐννοηθεῖσα, ὡς δεινὸν ἔργον ἐδεδράκει,
καὶ ἄλλως δὲ καιομένη σφοδρῷ ἔρωτι τοῦ
παιδὸς ἀναρτᾷ ἑαυτήν. Φοβίος μέντοι διὰ ταύτην
τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς.
Ἔφασαν δέ τινες οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς* 3
*τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς
μέμνηται ἐν τοῖσδε ἐν Ἀπόλλωνι·*

παῖς Ἱπποκλῆος Φοβίος Νειληϊάδαο
ἔσται ἰθαιγενέων γνήσιος ἐκ πατέρων·
τῷ δ' ἄλοχος μνηστὴ δόμον ἵξεται, ἧς ἔτι νύμφης
ἠλάκατ' ἐν θαλάμοις καλὸν ἑλισσομένης,
Ἀσσησοῦ βασιλῆος ἐλεύσεται ἔκγονος Ἀνθεὺς,
ὅρκι' ὁμηρείης πίστ' ἐπιβωσάμενος,

1 *προσισχόμενος* P, corr. Legr. *φέρουσα* (aut *φλεγομένη* Herm. XI p. 227) Hr. 2 *ἀνιλεῆ* Gal. *τε* [÷ ÷] *καὶ* P in ras. 3 *ἀποκαλοῦσα* Hr. (l. l.) 4 *τιθασ[σο]ν* P in lit., *τιθασὸν* Mein. 6 *ὅπως* om. Corn., *ὡς* Gal. 9 *ἐτέθ[ν]ήκει* in ras. P *ἐδεδράκει* *, *δεδράκοι* P 10 *καιομένη* *, vulg. *καομένη*, sed in P rasura inter *κα* et *ομένη* 11 *φόβιος* P, corr. Mein. 12 [*ἀ*]*ρχῆς* in lit. P 14 *ὡς* P, *ὧν* Hr. 15 *ἐν Ἀπόλλωνι* secl. Hr. 16 *ἱπποκλ*[*ῆ*]*ος* in ras. P *φόβιος* P *νηληιάδαο* P, corr. Mein. 17 *ἰθαι|γενέων* **P fol. 181v** 18 *μνήστη* P *ἧξεται* P, corr. Pass. 19 *ἑλισσομένη* P, *ἑλισσομένη* Corn., corr. Gal. 20 *Ἀσσηροῦ* Corn. 21 *πιστ'* P fort. *ἐπιβωσόμενος* Mein., *ἀποδωσόμενος* Legr.

προωθήβης, ἔαρος θαλερώτερος· οὐδὲ Μελίσσῳ
Πειρήνης τοιόνδ' ἀλφεσίβοιον ὕδωρ
θηλήσει μέγαν υἱὸν, ἀφ' οὗ μέγα χάρμα Κορίνθῳ
ἔσται καὶ βριαροῖς ἄλγεα Βακχιάδαις·
Ἀνθεὺς Ἑρμείῃ ταχινῷ φίλος, ᾧ ἔπι νύμφη
μαινὰς ἄφαρ σχήσει τὸν λιθόλευστον ἔρων·
καί ἑ καθαψαμένη γούνων ἀτέλεστα κομίσσαι
πείσει· ὁ δὲ Ζῆνα Ξείνιον αἰδόμενος
σπονδάς τ' ἐν Φοβίου καὶ ἅλα ξυνεῶνα θαλάσσης,
κρήναις καὶ ποταμοῖς νίψετ' ἀεικὲς ἔπος.
ἡ δ' ὅταν ἀρνῆται μελεὸν γάμον ἀγλαὸς Ἀνθεὺς,
δὴ τότε οἱ τεύξει μητιόεντα δόλον
μύθοις ἐξαπαφοῦσα· λόγος δέ οἱ ἔσσεται οὗτος·
γαυλός μοι χρύσεος φρείατος ἐκ μυχάτου
νῦν ὅτ' ἀνελκόμενος διὰ μὲν καλὸν ἤρικεν οὖσον,
αὐτὸς δ' ἐς νύμφας ᾤχετ' ἐφυδριάδας·
πρὸς σὲ θεῶν ἀλλ' εἴ μοι, ἐπεὶ καὶ πᾶσιν ἀκούω
ῥηιδίην οἶμον τοῦδ' ἔμεναι στομίου,
ἰθύσας ἀνέλοιο, τότ' ἂν μέγα φίλτατος εἴης.
ὧδε μὲν ἡ Φοβίου Νειλεΐδαο δάμαρ

1 *μελίσσωι* P 2 *πετρήνης* P, corr. Vales. ad Diod. Sic. II p. 548; *Πετρίνῃ* Gal. *Μελίσσου Π. ναίοντ'* Valesius 3 *θελήσει* P, *θαλλήσει* Davisius ad Max. Tyr. I p. 452, fort. *θηλάσει* West., *θηλήσει* Pass. 5 *ἔπι* Corn., *ἔνι* P, *ἐπὶ* Legr. 6 *ἔρον* Gal. 7 *καθαψαμένης* P, corr. Legr. *ἀθέμιστα τελέσσαι* He. 8 *ὁ δὲ ζῆνα* P, *Ζῆνα δ' ἀνὴρ* Iacobs. ad Anth. gr. VII p. 239 9 *ἐν* P, *ἐκ* Gal. *ξυνῶνα* Mein. dubitanter *θαλάσσῃ* Legr., *ξυνέωνα τραπέζης* Brunckius in Anal. I p. 419, *θαλείης* Hauptius 13 *ἐξαπάφουσα* P 14 *χρύ[σ]εος* P in lit. 15 *νῦν ὅτ'* Mein., *νῦν ὅ γ'* P, *νεῖον* Piersonus ad Moer. p. 194, *ἄρτι γ'* Brunckius, *εἴ μιν* He. *δια μὲν καλὸνήρικενοῦσον* P; *κακὸν* Villoisonus; *ἤρικε νοῦσον* Corn., *ἤρικεν οὖσον* Pierson., *ἤρικεν ὄγκῳ* Brunck., *ἤρικε σαυνόν* Iacobs. 17 *παισὶν* Piersonus 18 *οἶμον* P 19 *τότ'* Pierson., *τοι* P *μέτα* P, corr. idem 20 *νειλιάδαο* P, *Νηλιάδαο* Pass., *Νηλεΐδαο* Brunck., *Νειλεΐδαο* Mein.

φθέγξεθ'· ὁ δ' οὐ φρασθεὶς ἀπὸ μὲν Λελεγήιον εἷμα
μητρὸς ἑῆς ἔργον θήσεται Ἑλλαμενῆς,
αὐτὸς δὲ σπεύδων κοῖλον καταβήσεται ἄγκος
[30] *φρείατος· ἡ δ' ἐπί οἱ λιρὰ νοεῦσα γυνὴ*
ἀμφοτέραις χείρεσσι μυλακρίδα λᾶαν ἐνήσει·
καὶ τόθ' ὁ μὲν ξείνων πολλὸν ἀποτμότατος
ἠρίον † ὀγκώσει τὸ μεμορμένον, ἡ δ' ὑπὸ δειρὴν
ἀψαμένη † σὺν τῷ βήσεται εἰς Ἀίδην.

XV. Περὶ Δάφνης.

[Ἡ ἱστορία παρὰ Διοδώρῳ τῷ Ἐλαΐτῃ ἐν ἐλεγείαις καὶ Φυλάρχῳ ἐν ιε'.]

Περὶ δὲ τῆς Ἀμύκλα θυγατρὸς τάδε λέγεται Δάφνης. 1 *Αὕτη τὸ μὲν ἅπαν εἰς πόλιν οὐ κατήει οὐδ' ἀνεμίσγετο ταῖς λοιπαῖς παρθένοις, παρασκευασαμένη δὲ † πυκνὰς ἐθήρευεν ἔστιν ὅτε καὶ ἐν τῇ Λακωνικῇ καὶ ἐπιφοιτῶσα εἰς τὰ λοιπὰ τῆς Πελοποννήσου ὄρη· δι' ἣν αἰτίαν μάλα καταθύμιος ἦν Ἀρτέμιδι, καὶ αὐτὴν εὔστοχα βάλλειν ἐποίει. Ταύτης περὶ τὴν Ἠλιδίαν ἀλωμένης* 2

1 *φθέγξαθ'* P *ἄπο* P 2 *ἑλλαμένης* P, corr. Pass.; *ἀλλόμενος* Gal., *ἑσσαμένης* Legr., *Ἑλσαμενῆς* Mein. 4 *λιρὰ*] *σκληρὰ* Legr. 6 sic P; *καὶ τότε μὲν ξείνων πολλὸν ἀποτμότατον ἠρίον ὀγκώσει μεμορημένον* He., *καὶ τόδε μὲν ξείνων πολλὸν ἀποτμοτάτῳ ἠρίον ὀγκώσει τὸ μεμορμένον* Iacobs., *καὶ τόδ' ὁ μὲν* Bachius in *Zeitschr. f. d. Alt.-Wiss.* 1837 nr. 41 7 *ἠρίον οἰκήσει* Brunckius, *ἠρίον οἱ χώσει τὸ πεπρωμένον* Legr. 8 *σὺν τῶ* P, *σχοῖνον* (*σχοίνῳ*?) Hr. 10 *ἐπαΐτῃ* Corn. cf. **Tzetz. Lyc. 6, Plut. V. Agid. 9** 12 *δὲ* sustulit Pass. *δάφνη* P¹, ς a P²; post *θυγατρὸς* transposuit Hir. 13 *ἅ|παν* **P fol. 182ʳ** *παράπαν* Martinius *ανεμίσγετο* P¹, spir. add. P² 14 *π[υ]κνὰς* (in ras.) *ἐθήρευεν — ἔστιν* (sic!) P, *πυκνῶς ἐθήρα* Scal., *κύνας* Legr., *ἄρκυας* sive *δίκτυα* He., *παρεσκευασμένη δὲ πυκνῶς* Pass., *πυκνὰς λύγκας* Luchtius Phyl. fr. p. 86; fort. *περιαθροισαμένη δὲ κύνας πολλοὺς* * Annal. philol. 1894 p. 464 18 *ἠλικίαν ἀλωμένης εὔιππος* P, *Ἠλείαν* Gal., *Ἠλιδίαν* Mein.

Λεύκιππος, Οἰνομάου παῖς, εἰς ἐπιθυμίαν ἦλθε καὶ τὸ μὲν ἄλλως πως αὐτῆς πειρᾶσθαι ἀπέγνω, ἀμφιεσάμενος δὲ γυναικείας ἀμπεχόνας καὶ ὁμοιωθεὶς κόρῃ συνεθήρα αὐτῇ. Ἔτυχε δέ πως αὐτῇ κατὰ νοῦν γενόμενος οὐ μεθίει τε αὐτὸν ἀμφιέπουσά τε καὶ ἐξηρτημένη πᾶσαν

3 *ὥραν. Ἀπόλλων δὲ καὶ αὐτὸς τῆς παιδὸς πόθῳ καιόμενος ὀργῇ τε καὶ φθόνῳ εἴχετο τοῦ Λευκίππου συνόντος καὶ ἐπὶ νοῦν αὐτῇ βάλλει σὺν ταῖς λοιπαῖς παρθένοις ἐπὶ κρήνην ἐλθούσαις λούεσθαι. Ἔνθα δὴ ὡς ἀφικόμεναι ἀπεδιδύσκοντο καὶ ἑώρων τὸν Λεύκιππον μὴ βουλόμενον, περιέρρηξαν αὐτόν· μαθοῦσαι δὲ τὴν ἀπάτην καὶ ὡς ἐπεβούλευεν αὐταῖς, πᾶσαι μεθίεσαν εἰς*

4 *αὐτὸν τὰς αἰχμάς. Καὶ ὁ μὲν δὴ κατὰ θεῶν βούλησιν ἀφανὴς γίνεται, Ἀπόλλωνα δὲ Δάφνη ἐπ' αὐτὴν ἰόντα προϊδομένη μάλα ἐρρωμένως ἔφευγεν· ὡς δὲ συνεδιώκετο, παρὰ Διὸς αἰτεῖται ἐξ ἀνθρώπων ἀπαλλαγῆναι, καὶ αὐτήν φασι γενέσθαι τὸ δένδρον τὸ ἐπικληθὲν ἀπ' ἐκείνης δάφνην.*

XVI. Περὶ Λαοδίκης.

[Ἱστορεῖ Ἡγήσιππος Μιλησιακῶν α'.]

1 *Ἐλέχθη δὲ καὶ περὶ Λαοδίκης ὅδε λόγος· ὡς ἄρα παραγενομένων ἐπὶ Ἑλένης ἀπαίτησιν Διομήδους καὶ Ἀκάμαντος πολλὴν ἐπιθυμίαν ἔχειν μιγῆναι παντάπασι*

coll. **Steph. Byz.** s. v. *Ἦλις: λέγεται δὲ καὶ Ἠλιδία* e. q. s. 1 *Λεύκιππος* iam a Frobenio corr. 2 *πῶς* P 3 *γυναικείαις ἀμπεχόναις* P, corr. Legr. 4 *μεθιείς* P, corr. Gal. 5 *ἀμφιέπουσά* Mein., *ἀμφιπεσοῦσά* P, *ἀμφιπολοῦσα* Cob., *ἀμφιπολεύουσα* Hr. 6 *καόμενος* Hir. 13 *δὴ* Legr., *ἢ* P 15 *προειδόμενος* P 17 *αὐτὴν φασὶ* P 20 *Παλληνιακῶν* Heckerus, v. **Tzetz. Lyc. 495** 21 *ὅδ' ὁ λόγος* Hir. 23 *ἔχειν*] *εἶχε* Legr.

νέῳ ὄντι Ἀκάμαντι καὶ μέχρι μέν τινος ὑπ' αἰδοῦς κατέχεσθαι, ὕστερον δὲ νικωμένην ὑπὸ τοῦ πάθους ἀνακοινώσασθαι Περσέως γυναικὶ (Φιλοβίῃ αὐτῇ ὄνομα) παρακαλεῖν τε αὐτὴν ὅσον οὐκ ἤδη διοιχομένῃ ἀρήγειν αὐτῇ. Κατοικτείρουσα δὲ τὴν συμφορὰν τῆς 2
κόρης δεῖται τοῦ Περσέως ὅπως συνεργὸς αὐτῇ γένηται ἐκέλευέ τε ξενίαν καὶ φιλότητα τίθεσθαι πρὸς τὸν Ἀκάμαντα. Περσεὺς δὲ τὸ μὲν καὶ τῇ γυναικὶ βουλόμενος ἁρμόδιος εἶναι, τὸ δὲ καὶ τὴν Λαοδίκην οἰκτείρων, πάσῃ μηχανῇ [ἐπεὶ] τὸν Ἀκάμαντα εἰς Δάρδανον ἀφικέσθαι πείθει· καθίστατο γὰρ ὕπαρχος τοῦ χωρίου· ἦλθε ⟨δὲ⟩ καὶ Λαοδίκη ὡς εἰς ἑορτήν τινα σὺν ἄλλαις τῶν Τρῳάδων ἔτι παρθένος οὖσα. Ἔνθα δὴ παντο- 3
δαπὴν θοίνην ἑτοιμασάμενος συγκατακλίνει καὶ τὴν Λαοδίκην αὐτῷ φάμενος μίαν εἶναι τῶν τοῦ βασιλέως παλλακίδων. Καὶ Λαοδίκη μὲν οὕτως ἐξέπλησε τὴν ἐπιθυμίαν, χρόνου δὲ προϊόντος γίνεται τῷ Ἀκάμαντι υἱὸς Μούνιτος, ὃν ὑπ' Αἴθρᾳ τραφέντα μετὰ Τροίας ἅλωσιν διεκόμισεν ἐπ' οἶκου· καὶ αὐτὸν θηρεύοντα ἐν Ὀλύνθῳ τῆς Θρᾴκης ὄφις ἀνεῖλεν.

2 *δὲ* | *νικωμένην* **P fol. 182ᵛ** 3 *Φυλοβίῃ* Wilamowitzius *Phil. Unters.* I p. 138, adn. 62 4 *διοιχομένην* Corn., *μονονουχὶ δὴ οἰχομένῃ ἀρήγειν αὐτῇ· ἡ δὲ κατοικτείρουσα* Legr. 5 *ἀρήγει[ν]* in ras. P 6 *περσέ[ω]ς* in lit. P 10 *[ἐπεὶ]* del. Legr., *ἐπεὶ τὸν* in *ἐπείγων* mutavit Iacobsius (ephem. Hal. 1806 nr. 282), postea (in Anthol. XII p. 208) scripsit: *ἐπῄει τὸν Ἀκάμαντα καὶ εἰς Δάρδανον; ἔπειθε τὸν Ἀκάμαντα εἰς Δάρδανον ἀφικέσθαι [πείθει]* Duentzerus in Philol. IV p. 384 12 *ἦλθε ⟨δὲ⟩* Legr. 14 *[καὶ] τὴν* Hr. 16 *ο[ὕ]τως* in ras. P 18 *Μούνιχος* ap. **Lycophr. v. 498,** cf. Wilamowitz. l. l. *αἴθρα[ι]* in ras. P, *Αἴθρας* Hir. 20 *ὄφ[ις —] ἀνεῖλεν* P in lit.

XVII. Περὶ τῆς Περιάνδρου μητρός.

1 *Λέγεται δὲ καὶ Περίανδρον τὸν Κορίνθιον τὴν μὲν
ἀρχὴν ἐπιεικῆ τε καὶ πρᾶον εἶναι, ὕστερον δὲ φονι-
κώτερον γενέσθαι δι' αἰτίαν τήνδε. Ἡ μήτηρ αὐτοῦ
κομιδῇ νέου πολλῷ ⟨πόθῳ⟩ κατείχετο καὶ τέως ἀνεπίμ-*
2 *πλατο τῆς ἐπιθυμίας περιπλεκομένη τῷ παιδί. Προ-
ϊόντος δὲ τοῦ χρόνου τὸ πάθος ἐπὶ μεῖζον ηὔξετο καὶ
κατέχειν τὴν νόσον οὐκ ἔτι οἵα τε ἦν, ἕως ἀποτολμή-
σασα προσφέρει λόγους τῷ παιδί, ὡς αὐτοῦ γυνή τις
ἐρῴη τῶν πάνυ καλῶν, παρεκάλει τε αὐτὸν μὴ περι-
ορᾶν αὐτὴν περαιοτέρω καταξαινομένην. Ὁ δὲ τὸ μὲν
πρῶτον οὐκ ἔφη φθερεῖν ἐζευγμένην γυναῖκα ὑπό τε
νόμων καὶ ἐθῶν, λιπαρῶς δὲ προσκειμένης τῆς μητρὸς*
3 *συγκατατίθεται. Καὶ ἐπειδὴ νὺξ ἐπῆλθεν, εἰς ἣν ἐπε-
τέτακτο τῷ παιδί, προεδήλωσεν αὐτῷ μήτε λύχνα φαί-
νειν ἐν τῷ θαλάμῳ μήτε ἀνάγκην αὐτῇ ἐπάγειν πρὸς
τὸ διαλεχθῆναί τι· ἐπιπροσδεῖσθαι γὰρ αὐτὴν ὑπ' αἰ-
δοῦς. Καθομολογησαμένου δὲ τοῦ Περιάνδρου πάντα
ποιήσειν κατὰ τὴν ὑφήγησιν τῆς μητρός, ὡς ὅτι κρά-
τιστα αὐτὴν ἀσκήσασα εἰσέρχεται παρὰ τὸν παῖδα καὶ*
4 *πρὶν ἢ περιφαίνειν ἕω λαθραίως ἔξεισιν. Τῇ δ' ὑστε-
ραίᾳ ἀναπυνθανομένης αὐτῆς, εἰ κατὰ νοῦν αὐτῷ γέ-
νοιτο καὶ εἰ αὖτις λέγει αὐτὴν παρ' αὐτὸν ἀφικέσθαι,*

3 *τε* om. Corn. *φονικώτατον* Hr. 4 *τῆνδε* P in marg. glossae signum 5 ⟨*πόθῳ*⟩ add. Gal. *τέως* ⟨*μὲν*⟩ Mein. 8 *τὴν* om. Corn. *οἵα* idem 10 *τὲ* P 11 *αὐτὴν* | *περαιοτέρω* P **fol. 183**r 14 *κἄπειδὴ* Hr. *νῦξ* P *συνετέτακτο* Hr. 15 *προὐδήλωσεν* idem *λύχνα* Gal., *νύκτα* P 17 *ἐπιπροσθεῖσθαι* P, *ἐπικρατεῖσθαι* Legr. 20 *αὐτὴν* P 21 *προφαίνειν* (*ἐπιφαίνειν*, *φανῆναι*, *προφανῆναι*) Legr., *ἐπιφανῆναι τὴν ἕω* Schneiderus, *ὑποφαίνειν* Mein. 23 *αὖτ*[*ι*]*ς* in ras. P *θέλοι* (*ἐθέλοι*) Ba., *λέγοι* He.

ὁ Περίανδρος σπουδάζειν τε ἔφη καὶ ἡσθῆναι οὐ μετρίως. Ὡς δὲ ἐκ τούτου οὐκ ἀνίει φοιτῶσα πρὸς τὸν παῖδα, καί τις ἔρως ἐπήει τὸν Περίανδρον, ἤδη σπουδὴν ἐτίθετο γνωρίσαι τὴν ἄνθρωπον ἥτις ἦν. Καὶ 5
ἕως μέν τινος ἐδεῖτο τῆς μητρὸς ἐξικετεῦσαι ἐκείνην, ὅπως τε εἰς λόγους αὐτῷ ἀφίκοιτο καί, ἐπειδὴ εἰς πολὺν πόθον ἐπάγοιτο αὐτόν, δήλη ποτὲ γένοιτο· νυνὶ δὲ παντάπασι πρᾶγμα ἄγνωμον πάσχειν διὰ τὸ μὴ ἐφίεσθαι αὐτῷ καθορᾶν τὴν ἐκ πολλοῦ χρόνου συνοῦ- 9
σαν αὐτῷ. Ἐπεὶ δὲ ἡ μήτηρ ἀπεῖργεν αἰτιωμένη τὴν 6
αἰσχύνην τῆς γυναικός, κελεύει τινὰ τῶν ἀμφ' αὐτὸν οἰκετῶν λύχνα κατακρύψαι· τῆς δὲ κατὰ τὸ σύνηθες ἀφικομένης καὶ μελλούσης κατακλίνεσθαι ἀναδραμὼν ὁ Περίανδρος ἀναίρει τὸ φῶς καὶ κατιδὼν τὴν μητέρα ὥρμησεν ἐπὶ τὸ διεργάσασθαι αὐτήν· κατασχεθεὶς δὲ ὑπό τινος δαιμονίου φαντάσματος ἀπετράπετο κἀκ τούτου παραπλὴξ ἦν νοῦ τε καὶ φρενῶν κατέσκηψέ τε εἰς ὠμότητα καὶ πολλοὺς ἀπέσφαξε τῶν πολιτῶν· ἡ δὲ μήτηρ πολλὰ κατολοφυραμένη τὸν ἑαυτῆς δαίμονα ἀνεῖλεν ἑαυτήν.

1 *τὲ* P 2 *ἐκ* om. P, corr. Koenius ad Greg. p. 127, *τοῦτο* Corn., *μετὰ τοῦτο* (aut [*τοῦτο*]) He. *ἀνίει* P, *ἀνοίγει* Gal., *ὡς δὲ οὐκ ἀνίει τοὔθος φοιτῶσα* Legr. 3 ⟨*καὶ*⟩ *ἔρως* Hr. *ὑπήει* Legr. 6 *τὲ* P *ἐπ[ει]δὴ* in ras. P, *κἀπειδὴ* Hr. 7 *ἐπαγάγοιτο* Mein. *τότε γεγένηται* P, *πότε* He., *τὸ τέλος γένοιτο* Iacobs. ad Ach. Tat. p. 620, *γένηται* Legr. *νυνὶ γὰρ* Hir. 8 *ἄγνωμον* et *μη* P 10 *ἀπείρηκεν* Legr. 11 *αὐτὸν* Corn. 12 *οἰκετῶν* secl. Hir. 14 *ἀναιρεῖ* P, corr. Legr. 16 *φαντάσμα|τος* **P fol. 183ᵛ** *κἀκ* P 17 *νοῦ τε καὶ φρενῶν* sustulit Hir. 19 *αὐτῆς* Corn., *αὐτῆς* Legr.

XVIII. Περὶ Νεαίρας.

[Ἱστορεῖ Θεόφραστος ἐν α΄ τῶν πρὸς τοὺς καιρούς.]

1 *Ὑψικρέων δὲ Μιλήσιος καὶ Προμέδων Νάξιος μά-
λιστα φίλω ἤστην. Ἀφικομένου οὖν ποτε Προμέδοντος
εἰς Μίλητον θατέρου λέγεται τὴν γυναῖκα Νέαιραν
ἐρασθῆναι αὐτοῦ· καὶ παρόντος μὲν τοῦ Ὑψικρέοντος
μὴ τολμᾶν αὐτὴν διαλέγεσθαι τῷ ξένῳ, μετὰ δὲ χρό-
νον, ὡς ὁ μὲν Ὑψικρέων ἐτύγχανεν ἀποδημῶν, ὁ δὲ
αὖτις ἀφίκετο, νύκτωρ αὐτοῦ κοιμωμένου ἐπεισέρχεται
ἡ Νέαιρα καὶ πρώτη μὲν οἵα τε ἦν πείθειν αὐτόν·
ἐπειδὴ δὲ ἐκεῖνος οὐκ ἐνεδίδου Δία τε Ἑταιρήιον καὶ
Ξένιον αἰδούμενος, προσέταξεν ἡ Νέαιρα ταῖς θερα-
παίναις ἀποκλεῖσαι τὸν θάλαμον, καὶ οὕτως πολλὰ
2 ἐπαγωγὰ ποιούσης ἠναγκάσθη μιγῆναι αὐτῇ. Τῇ μέν-
τοι ὑστεραίᾳ δεινὸν ἡγησάμενος εἶναι τὸ πραχθὲν
ᾤχετο πλέων ἐπὶ τῆς Νάξου· ἔνθα ⟨δὴ⟩ καὶ ἡ Νέαιρα
δείσασα τὸν Ὑψικρέοντα διέπλευσεν εἰς τὴν Νάξον·
καὶ ἐπειδὴ αὐτὴν ἐξῄτει ὁ Ὑψικρέων, ἱκέτις προσκαθί-
3 ζετο ἐπὶ τῆς ἑστίας τῆς ἐν τῷ πρυτανείῳ. Οἱ δὲ Νά-
ξιοι λιπαροῦντι τῷ Ὑψικρέοντι ἐκδώσειν μὲν οὐκ ἔφα-
σαν, ἐκέλευον μέντοι πείσαντα αὐτὴν ἄγεσθαι· δόξας
δὲ ὁ Ὑψικρέων ἀσεβεῖσθαι πείθει Μιλησίους πολεμεῖν
τοῖς Ναξίοις.*

3 cf. **Plut. mul. virt. 17** 4 *φίλοι* Gal. 5 *μιλήτου* P
αί
νεραν P (semper *νεαίρα* paroxytonon) 7 *χρόνον* secl. Hir.
9 *αὐτ[ι]ς* P in ras. *ὑπεισέρχεται* Legr. 10 *οἵα[τε] ἦν* Hir.
11 *ἐδίδου* P, corr. He. *ἑταιρεῖον* Pass. 16 ⟨*δὴ*⟩ ins. Hr.
17 *εἰς τὴν Νάξον* expunxit Hir. 18 *κἀπειδὴ* Hr. *ἐζήτει*
Gal. *ἱκέτης* Corn. *προσεκαθίζετο* Legr. 21 *μέ*ν*τοι* P
22 *ἀδικεῖσθαι* Legr. ⟨*τοὺς*⟩ *Μιλησίους* idem

XIX. Περὶ Παγκρατοῦς.

[Ἱστορεῖ Ἀνδρίσκος ἐν Ναξιακῶν β΄.]

Σκέλλις δὲ καὶ Κασσαμενὸς, † κήτορος οἱ θραίκης, ὁρμήσαντες ἀπὸ νήσου τῆς πρότερον μὲν Στρογγύλης, ὕστερον δὲ Νάξου κληθείσης, ἐληίζοντο μὲν τήν τε Πελοπόννησον καὶ τὰς πέριξ νήσους, προσσχόντες δὲ Θεσσαλίᾳ πολλάς τε ἄλλας γυναῖκας κατέσυραν, ἐν δὲ καὶ τὴν Ἀλωέως γυναῖκα Ἰφιμέδην καὶ θυγατέρα αὐτῆς Παγκρατώ· ἧς ἀμφότεροι εἰς ἔρωτα ἀφικόμενοι ἀλλήλους κατέκτειναν.

XX. Περὶ Αἱροῦς.

Λέγεται δὲ καὶ Οἰνοπίωνος καὶ νύμφης Ἑλίκης Αἱρὼ κόρην γενέσθαι· ταύτης δὲ Ὠρίωνα τὸν Ὑριέως ἐρασθέντα παρ' αὐτοῦ παραιτεῖσθαι τὴν κόρην, καὶ διὰ ταύτην τήν τε νῆσον ἐξημερῶσαι τότε θηρίων ἀνάπλεων οὖσαν λείαν τε πολλὴν περιελαύνοντα τῶν προσχώρων ἕδνα διδόναι· τοῦ μέντοι Οἰνοπίωνος ἑκάστοτε ὑπερτιθεμένου τὸν γάμον διὰ τὸ ἀποστυγεῖν αὐτῷ

3 *σκέλλ[ι]ς τὲ* in ras. P, *δὲ* corr. Hr. in Herm. XII p. 310, adn. 2 *κασσαμενο[ς]* in ras. P *κήτορος οἱ θραίκης* P, *οἰκήτορες Θρᾴκης* Pass., *Κήτορος ἐκ Θρᾴκης* Gal., *οἱ Κήτορος ἐκ Θρᾴκης* He., *οἱ Κήτορος οἱ Θρᾷκες* Legr., fort. *οἱ Μήστορος τοῦ Θρᾳκὸς* * 5 *ἐλῄζοντο* Cob. 6 *προσχόντες* P, *ὁρμήσαντε* (4) et *προσσχόντε* Corn. 7 *θεσσα|λίαι* **P fol. 184r** *τ[ε]* in ras. P *γυναικᾶς* P 8 *ἀλωέως* Corn., *ἀλωθέως* Frobenius 9 ⟨*τὴν*⟩ *θυγατέρα* Hr. *παγκρατὼ* P 11 *Ἡροῦς* Pass., *Μαιροῦς* Mein., *Πηροῦς* Hr., *Μεροῦς* Maassius *Phil. Unters.* VI p. 129, adn. 109 13 *Αἱρὼ κόρην* P, *Μερόπην* Hr. in Herm. XII p. 147 *ὠρίωνα* P semper 14 *παρὰ τοῦ πατρὸς αἰτεῖσθαι* Legr., fort. recte 16 *λείαν τὲ* P *των* et (17) *ἕδνα* P 18 in marg. glossae signum

γαμβρὸν τοιοῦτον γενέσθαι, ὑπὸ μέθης ἔκφρονα γενόμενον τὸν Ὠρίωνα κατάξαι τὸν θάλαμον, [καὶ] ἔνθα ἡ παῖς ἐκοιμᾶτο, καὶ βιαζόμενον ἐκκαῆναι τοὺς ὀφθαλμοὺς ὑπὸ τοῦ Οἰνοπίωνος.

XXI. Περὶ Πεισιδίκης.

1 *Λέγεται δὲ καί, ὅτε Ἀχιλλεὺς πλέων τὰς προσεχεῖς τῇ ἠπείρῳ νήσους ἐπόρθει, προσσχεῖν αὐτὸν Λέσβῳ· ἔνθα δὴ καθ' ἑκάστην τῶν πόλεων αὐτὸν ἐπιόντα κεραΐζειν. Ὡς δὲ οἱ Μήθυμναν οἰκοῦντες μάλα καρτερῶς ἀντεῖχον, καὶ ἐν πολλῇ ἀμηχανίᾳ ἦν διὰ τὸ μὴ δύνασθαι ἑλεῖν τὴν πόλιν, Πεισιδίκην τινὰ Μηθυμναίαν, τοῦ βασιλέως θυγατέρα, θεασαμένην ἀπὸ τοῦ τείχους τὸν Ἀχιλλέα ἐρασθῆναι αὐτοῦ καὶ οὕτως τὴν τροφὸν διαπεμψαμένην ὑπισχνεῖσθαι ἐγχειρίσειν αὐτῷ*
2 *τὴν πόλιν, εἴ γε μέλλοι αὐτὴν γυναῖκα ἕξειν. Ὁ δὲ τὸ μὲν παραυτίκα καθωμολογήσατο· ἐπεὶ μέντοι ἐγκρατὴς ⟨τῆς⟩ πόλεως ἐγένετο, νεμεσήσας ἐπὶ τῷ δρασθέντι προὐτρέψατο τοὺς στρατιώτας καταλεῦσαι τὴν κόρην. Μέμνηται τοῦ πάθους τοῦδε καὶ ὁ τὴν Λέσβου κτίσιν ποιήσας ἐν τοῖσδε·*

ἔνθα δὲ Πηλείδης κατὰ μὲν κτάνε Λάμπετον ἥρω,
ἐκ δ' Ἱκετάονα πέφνεν, ἰθαιγενέος Λεπετύμνου

2 *κατεάξαι* Gal. [*καὶ*] P, secl. He. 7 *προσχεῖν* P 9 *καρτερῶς* Legr., *κρατερῶς* P 11 *μηθυμναίαν* [—] in ras. P *Πεισιδίκην τὴν τοῦ Μηθυμναίων βασιλέως θυγατέρα* Legr., cui reiecto *Μηθυμναίων* adstipulatur Mein. 14 *ἐγχειριεῖν* Hir. 16 *παρ' αὐτίκα* P 17 ⟨*τῆς*⟩ ins. Schneiderus 19 *μέμνηται* ⟨*δὲ*⟩ Hr. De toto fragmento cf. quae in praef. cap. III exposuimus 21 *ἐνθά|δε* **P fol. 184ᵛ**, *ἔνθα δὲ* Mein. *λάμπεδον* P *ἥρω*] *Ἴρου* Gal. ex **Steph. Byz.** s. v. *Λαμπέτειον* 22 *κὰδ δ'* Gal. *πεφν*[—]*εν* P in ras. *ἰθαγενέος* P, epicam formam reposuit Mein. *Λεπετίμνου* Gal.

υἱέα Μηθύμνης τε καὶ ἀλκηέστατον ἄλλων
αὐτοκασίγνητον Ἑλικάονος ἔνδοθι πάτρης
τηλίκον Ὑψίπυλον· θαλερὴ δέ μιν ἄασε Κύπρις.
ἢ γὰρ ἐπ' Αἰακίδῃ κούρῃ φρένας ἐπτοίησεν
Πεισιδίκῃ, ὅτε τόν γε μετὰ προμάχοισιν Ἀχαιῶν
χάρμῃ ἀγαλλόμενον θηέσκετο, πολλὰ δ' ἐς ὑγρὴν
ἠέρα χεῖρας ἔτεινεν ἐελδομένη φιλότητος.

Εἶτα μικρὸν ὑποβάς·

δέκτο μὲν αὐτίκα λαὸν Ἀχαιικὸν ἔνδοθι πάτρης
παρθενικὴ κληῖδας ὑποχλίσσασα πυλάων,
ἔτλη δ' οἷσιν ἰδέσθαι ἐν ὀφθαλμοῖσι τοκῆας
χαλκῷ ἐληλαμένους καὶ δούλια δεσμὰ γυναικῶν
ἑλκομένων ἐπὶ νῆας ὑποσχεσίης Ἀχιλῆος,
ὄφρα νυὸς γλαυκῆς Θέτιδος πέλοι, ὄφρα οἱ εἶεν
πενθεροὶ Αἰακίδαι, Φθίῃ δ' ἔνι δώματα ναίοι
ἀνδρὸς ἀριστῆος πινυτὴ δάμαρ· οὐδ' ὅ γ' ἔμελλεν
τὰ ῥέξειν, ὀλοῷ δ' ἐπαγάσσατο πατρίδος οἴτῳ·
ἔνθ' ἥ γ' αἰνότατον γάμον εἴσιδε Πηλείδαο
Ἀργείων ὑπὸ χερσὶ δυσάμμορος, οἵ μιν ἔπεφνον
πανσυδίῃ θαμινῇσιν ἀράσσοντες λιθάδεσσιν.

1 *τὲ* P 3 *ὑψίπυλον* P, *Ὑψίπυλον* Gal., *ὑψιπύλου* Legr., *ὑψίπολιν* Pass., *Τήλεμον ὑψιπύλου* G. Hermannus vv. 1—5 secl. Hir.; vv. 5—9 post v. 10, 1—4 (usque ad *Ἑλικάονος*) post v. 21 posuit Kayserus 4 *ἧ* P *κούρης* — (5) *Πεισιδίκης* He. 5 [*ὅτε τόν*] *γε* [—] *μετὰ* P in ras. 6 *θυέσκετο* P, corr. Gal. 7 *ἐελδομένη* P 9 *μὰν* P, corr. Legr. *Ἀχαϊκὸν* Hr. 10 *κλητῖδας ὑπο*[*χλ*]*ίσσασα* in ras. P 13 *ἔπι* P (acc. erasus) 14 *ὄφρά οἱ ἦεν* P 15 *ἐν* P, corr. Mein. 16 *πινυτὴ*] *μνηστὴ* Legr. 17 *ἐπεγάσσετο* P, corr. Gal. 19 *μιν* P, *μὲν* Corn.

XXII. Περὶ Νανίδος.

[Ἡ ἱστορία παρὰ Λικυμνίῳ τῷ Χίῳ μελοποιῷ καὶ Ἑρμησιάνακτι.]

Ἔφασαν δέ τινες καὶ τὴν Σαρδίων ἀκρόπολιν ὑπὸ Κύρου τοῦ Περσῶν βασιλέως ἁλῶναι προδούσης τῆς Κροίσου θυγατρὸς Νανίδος. Ἐπειδὴ γὰρ ἐπολιόρκει Σάρδεις Κῦρος καὶ οὐδὲν αὐτῷ εἰς ἅλωσιν τῆς πόλεως προὔβαινεν ἐν πολλῷ τε δέει ἦν, μὴ ἀθροισθὲν τὸ συμμαχικὸν αὐτῆς τῷ Κροίσῳ διαλύσειεν αὐτῷ τὴν στρατιάν, τότε τὴν παρθένον ταύτην εἶχε λόγος περὶ προδοσίας συνθεμένην τῷ Κύρῳ, εἰ κατὰ νόμους Περσῶν ἕξει γυναῖκα αὐτήν, κατὰ τὴν ἄκραν μηδενὸς φυλάσσοντος δι' ὀχυρότητα τοῦ χωρίου εἰσδέχεσθαι τοὺς πολεμίους, συνεργῶν αὐτῇ καὶ ἄλλων τινῶν γενομένων· τὸν μέντοι Κῦρον μὴ ἐμπεδῶσαι αὐτῇ τὴν ὑπόσχεσιν.

XXIII. Περὶ Χειλωνίδος.

1 *Κλεώνυμος ⟨δὲ⟩ ὁ Λακεδαιμόνιος, βασιλείου γένους ὢν καὶ πολλὰ κατορθωσάμενος Λακεδαιμονίοις, ἔγημε Χειλωνίδα προσήκουσαν αὐτῷ κατὰ γένος. Ταύτῃ σφοδρῶς ἐπιτεταμένου τοῦ Κλεωνύμου καὶ τὸν ἔρωτα*

4 in marg. cum glossae signo: *τίς ἡ κροίσου θυγάτηρ* 6 *Σάρδις* Hr. in Herm. XII p. 147 *κύρος* P 8 *αὔτις τῷ Κροίσῳ* Cob., [*αὐτῆς*] *τοῦ Κροίσου* Hr., ego potius *τῷ Κροίσῳ* eiciam *διαλύσειν* P, corr. Legr. *αὐτοῦ* et (9) *ἔχει* (pro *εἶχε*) idem 12 *χωρίου* | *εἰσδέχεσθαι* **P fol. 185r** *εἰσδέξασθαι* Legr. 13 *τινων γενομέν*[*ω*]*ν* in ras. P, *γινομένων* Hr. 14 *κύρον* P 16 Χ[ΕΙ]ΛΩΝΙΔΟϹ in ras. P; cf. **Plut. V. Pyrrh. 25,** ubi puella his libris appellatur *Χελιδονίς*, illis *Χειλωνίς*. *Χελιδονίδος* ap. Parth. corr. Toup. ad Schol. Theocr. IV 62 Narrationem ad **Phylarchum** rettulit Luchtius Phyl. fr. p. 109 17 ⟨*δὲ*⟩ * 18 *κατορθώσας* Hir. *κατορθωσάμενος — λακεδαιμονίοις* P 20 *ἐπιτεταγμένου* P, corr. He.

*οὐκ ἠρέμα φέροντος, τοῦ μὲν κατηλόγει, πᾶσα δὲ ἐνέ-
κειτο Ἀκροτάτῳ τῷ τοῦ βασιλέως υἱεῖ. Καὶ γὰρ ὁ* 2
*μειρακίσκος αὐτῆς ἀναφανδὸν ὑπεκαίετο, ὥστε πάντας
ἀνὰ στόμα ἔχειν τὴν ὁμιλίαν αὐτῶν· δι' ἣν αἰτίαν
δυσανασχετήσας ὁ Κλεώνυμος καὶ ἄλλως δὲ οὐκ ἀρε-
σκόμενος τοῖς Λακεδαιμονίοις ἔθεσιν ἐπεραιώθη πρὸς
Πύρρον εἰς Ἤπειρον καὶ αὐτὸν ἀναπείθει πειρᾶσθαι
τῆς Πελοποννήσου ὡς, εἰ καὶ ἐντόνως ἅψαιντο τοῦ
πολέμου, ῥᾳδίως ἐκπολιορκήσοντες τὰς ἐν αὐτῇ πόλεις·
ἔφη δὲ καὶ αὐτῷ τι ἤδη προδιειργάσθαι, ὥστε καὶ
στάσιν ἐγγενέσθαι τισὶ τῶν πολεμίων.* * * * * *
* * * * * * * * * * * *

XXIV. Περὶ Ἱππαρίνου.

Ἱππαρῖνος δὲ Συρακοσίων τύραννος εἰς ἐπιθυμίαν 1
*ἀφίκετο πάνυ καλοῦ παιδός· Ἀχαιὸς αὐτῷ ὄνομα.
Τοῦτον ἐξαλλάγμασι πολλοῖς ὑπαγόμενος πείθει τὴν
οἰκίαν ἀπολιπόντα σὺν αὐτῷ μένειν· χρόνου δὲ προ-
ιόντος ὡς πολεμίων τις ἔφοδος προσηγγέλθη πρός τι
τῶν ὑπ' ἐκείνου κατεχομένων χωρίων καὶ ἔδει κατὰ
τάχος βοηθεῖν, ἐξορμῶν ὁ Ἱππαρῖνος παρεκελεύσατο
τῷ παιδὶ, εἴ τις ἐντὸς τῆς αὐλῆς βιάζοιτο, κατακαίνειν
αὐτὸν τῇ σπάθῃ, ἣν ἐτύγχανεν αὐτῷ κεχαρισμένος.*

1 *κατηλόγ[ει]* in ras. P 2 *ἀποκροτάτωι* P, corr. Corn. de Acrotato v. **Paus. III 6, 3.** 3 *ὑπεκ[αί]ετο* P in lit., *ὑπεκάετο* Hir. 4 *ὁμιλ[ί]αν* in ras. P *αὐτῷ* Corn. 5 *δὲ* om. Gal. *ἀρεσκ[ό]μενος* in ras. P 6 *ἔθεσιν* Gal., *ἤθεσιν* P 8 *εἰ καὶ*] *εἴ γε* Hr. 9 *ῥαδί[ω]ς* et *αὐτ[οῖ]ς* in lit. P *αὐτῇ* Gal. 11 *ἐγγεν[έ]σθαί τισι* in ras. P *πόλεων* He. lacunam indicavit E Oder: de Antonino Lib. 1886 thes. VII 13 De Hipparini morte cf. **Theopomp. ap. Athen. X 436 A** 14 *δὲ* P, *δ' ὁ* Hir. 16 *τοῦτον ⟨οὖν⟩ ἀνταλλάγμασι* (vel *μειλίγμασι*) Legr. 18 *τίς* P *προσηγγέλη* P, corr. He. 19 *χωρίον* Legr.

2 *Καὶ ἐπειδὴ συμβαλὼν τοῖς πολεμίοις κατὰ κράτος αὐτοὺς εἷλεν, ἐπὶ πολὺν οἶνον ἐτράπετο καὶ συνουσίαν· ἐκκαιόμενος δὲ ὑπὸ μέθης καὶ πόθου τοῦ παιδὸς ἀφίππευσεν εἰς τὰς Συρακούσας καὶ παραγενόμενος ἐπὶ τὴν οἰκίαν, ἔνθα τῷ παιδὶ παρεκελεύσατο μένειν, ὅσ⟨τις⟩ μὲν ἦν οὐκ ἐδήλου, θετταλίζων δὲ τῇ φωνῇ τὸν Ἱππαρῖνον ἔφησεν ἀπεκτονηκέναι· ὁ δὲ παῖς διαγανακτήσας σκότους ὄντος παίει καιρίαν τὸν Ἱππαρῖνον· ὁ δὲ τρεῖς ἡμέρας ἐπιβιοὺς καὶ τοῦ φόνου τὸν Ἀχαιὸν ἀπολύσας ἐτελεύτησεν.*

XXV. Περὶ Φαΰλλου.

[Ἱστορεῖ Φύλαρχος.]

1 *Φάυλλος δὲ τύραννος ἠράσθη τῆς Ἀρίστωνος γυναικός, ὃς Οἰταίων προστάτης ἦν. Οὗτος διαπεμπόμενος πρὸς αὐτὴν χρυσόν τε πολὺν καὶ ἄργυρον ἐπηγγέλλετο δώσειν, εἴ τέ τινος ἄλλου δέοιτο, φράζειν ἐκέλευεν ὡς οὐχ ἁμαρτησομένην. Τὴν δ' ἄρα πολὺς εἶχε πόθος ὅρμου τοῦ τότε κειμένου ἐν τῷ τῆς Προνοίας Ἀθηνᾶς ἱερῷ, ὃν εἶχε λόγος Ἐριφύλης γεγονέ-*
2 *ναι, ἠξίου τε ταύτης τῆς δωρεᾶς τυχεῖν. Φάυλλος δὲ τά τε ἄλλα κατασύρων ἐκ Δελφῶν ἀναθήματα ἀναιρεῖται καὶ τὸν ὅρμον· ἐπεὶ δὲ διεκομίσθη εἰς οἶκον τὸν Ἀρίστωνος, χρόνον μέν τινα ἐφόρει αὐτὸν ἡ γυνὴ μάλα περίπυστος οὖσα, μετὰ δὲ ταῦτα παραπλήσιον*

1 *κἀπειδὴ* Hr. 2 *συνουσίαν·* | *ἐκκαιόμενος* **P fol. 185ᵛ** *συμποσίαν* Legr. 3 *ἐκκαόμενος* Hr. 4 *συρακούσσας* P 6 *ὅσ⟨τις⟩* * Annal. philol. 1894 p. 464, *ὃς* P 7 *ἀπεκτονέναι* Cob. 12 cf. Lucht. Phyl. fr. p. 124 13 *δὲ* P. *δ' ὁ* Hir. 18 *Προναίας* Wesselingius ad Diod. XI 14 21 *τὲ* P *κατασυλῶν* Legr., *κατὰ συλῶν* Luchtius 22 *ἐκομίσθη* Cob. 24 *περίπυστον ὄντα* Legr. *ταῦτα* sepsit Hir.

αὐτῇ πάθος συνέβη τῶν περὶ τὴν Ἐριφύλην γενομένων. Ὁ γὰρ νεώτερος τῶν υἱῶν αὐτῆς μανεὶς τὴν οἰκίαν ὑφῆψε καὶ τήν τε μητέρα καὶ τὰ πολλὰ τῶν κτημάτων κατέφλεξε.

XXVI. Περὶ Ἀπριάτης.

[Ἱστορεῖ Εὐφορίων Θρᾳκί.]

Ἐν Λέσβῳ παιδὸς Ἀπριάτης Τράμβηλος ὁ Τελα- 1
μῶνος ἐρασθεὶς πολλὰ ἐποιεῖτο εἰς τὸ προσαγαγέσθαι τὴν κόρην· ὡς δὲ ἐκείνη οὐ πάνυ ἐνεδίδου, ἐνενοεῖτο δόλῳ καὶ ἀπάτῃ περιγενέσθαι αὐτῆς. Πορευομένην οὖν ποτε σὺν θεραπαινιδίοις ἐπί τι τῶν πατρῴων χωρίων, ὃ πλησίον τῆς θαλάσσης ἔκειτο, λοχήσας εἷλεν.
Ὡς δὲ ἐκείνη πολὺ μᾶλλον ἀπεμάχετο περὶ τῆς παρ- 2
θενίας, ὀργισθεὶς Τράμβηλος ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν· ἐτύγχανε δὲ ἀγχιβαθὴς οὖσα. Καὶ ἡ μὲν ἄρα οὕτως ἀπωλώλει· τινὲς μέντοι ἔφασαν διωκομένην
ἑαυτὴν ῥῖψαι. Τράμβηλον δ' οὐ πολὺ μετέπειτα τίσις 3
ἐλάμβανεν ἐκ θεῶν· ἐπειδὴ γὰρ Ἀχιλλεὺς ἐκ τῆς Λέσβου πολλὴν λείαν ἀποτεμόμενος ἤγαγεν, οὗτος ἐπαγομένων αὐτὸν τῶν ἐγχωρίων βοηθὸν συνίσταται αὐτῷ, ἔνθα [δὴ] πληγεὶς εἰς τὰ στέρνα παραχρῆμα πίπτει· ἀγάμενος δὲ τῆς ἀλκῆς αὐτὸν Ἀχιλλεὺς ἔτι ἔμπνουν ἀνέκρινεν, ὅστις τε ἦν καὶ ὁπόθεν· ἐπεὶ δὲ

1 *γινομένων* P, corr. Gal., *τῷ — γενομένῳ* Schneiderus 3 *οἰκ[ί]αν* in ras. P 8 *προσάγεσθαι* Cob. 9 *δὲ* | *ἐκείνη* **P fol. 186r** *δὲ* P, vulgo *δ'* *ἐνενόει τὸ* P, corr. Ba., *ἐνενόει* He. 11 *χωρίον* Legr. 13 *περὶ* P, *ὑπὲρ* Hir. 15 *ἐτύγχανεν* P 16 *ἀπωλώλει* Hr., *ἀπολώλει* P, *ἀπόλωλε* Cob. *τινὲς*] in marg. ☩ (i. e. *γράφει*) *ἀριστόκριτος ἐν τοῖς περὶ μιλήτου* P 17 *ῥίψαι* P 18 *θεων* P 20 *ἐπαγαγομένων* Hr. 21 *πληγ[εὶ]ς* P in ras. *παρὰ χρῆμα* P

ἔγνω παῖδα Τελαμῶνος ὄντα, πολλὰ κατοδυρόμενος ἐπὶ τῆς ἠιόνος μέγα χῶμα ἔχωσε· τοῦτο ἔτι νῦν ἡρῷον Τραμβήλου καλεῖται.

XXVII. Περὶ Ἀλκινόης.

[Ἱστορεῖ Μοιρὼ ἐν ταῖς Ἀραῖς.]

1 *Ἔχει δὲ λόγος καὶ Ἀλκινόην τὴν Πολύβου μὲν τοῦ Κορινθίου θυγατέρα, γυναῖκα δὲ Ἀμφιλόχου τοῦ Δρύαντος, κατὰ μῆνιν Ἀθηνᾶς ἐπιμανῆναι ξένῳ Σαμίῳ· Ξάνθος αὐτῷ ὄνομα· ἐπὶ μισθῷ γὰρ αὐτὴν ἀγαγομένην χερνῆτιν γυναῖκα Νικάνδρην καὶ ἐργασαμένην ἐνιαυτὸν ὕστερον ἐκ τῶν οἰκίων ἐλάσαι μὴ ἐντελῆ τὸν μισθὸν ἀποδοῦσαν· τὴν δὲ ἀράσασθαι πολλὰ Ἀθηνᾷ τίσασθαι*
2 *αὐτὴν ἀντ' ἀδίκου στερήσεως· ὅθεν εἰς τοσοῦτόν τε ἐλθεῖν, ὥστε ἀπολιπεῖν οἶκόν τε καὶ παῖδας ἤδη γεγονότας συνεκπλεῦσαί τε τῷ Ξάνθῳ· γενομένην δὲ κατὰ μέσον πόρον ἔννοιαν λαβεῖν τῶν εἰργασμένων καὶ αὐτίκα πολλά τε δάκρυα προΐεσθαι καὶ ἀνακαλεῖν ὁτὲ μὲν ἄνδρα κουρίδιον, ὁτὲ δὲ τοὺς παῖδας· τέλος δὲ πολλὰ τοῦ Ξάνθου παρηγοροῦντος καὶ φαμένου γυναῖκα ἕξειν μὴ πειθομένην ῥῖψαι ἑαυτὴν εἰς θάλασσαν.*

1 *κατοδυράμενος* Mein. 2 *ἠιόνος μέγα χῶμα ἔχωσε* poetam resipiunt *ἡρῷον* P, *ἠρίον* Mein. 4 *περὶ ἀλκινόης* litteris minusculis a P² (hoc uno loco) 7 *κορ[ιν]θίου* in ras. P 11 *οἰκίων* Schneiderus, *οἰκείων* P 13 *ἀποστερήσεως* Schneiderus *τοσοῦτον τε* P, *τε* del. Peerlkampius in Bibl. crit. nov. II p. 218, *τοσοῦτόν τε* ⟨*μανίας*⟩ Gal., *τοσοῦτόν τι* ⟨*μανίας*⟩ Legr. 14 *οἶκόν τὲ καὶ* P 18 *ὅτε* (bis) P 20 *ῥί|ψαι* **P fol. 186ᵛ**

XXVIII. Περὶ Κλείτης.

[Ἱστορεῖ Εὐφορίων Ἀπολλοδώρῳ, τὰ ἑξῆς Ἀπολλώνιος Ἀργοναυτικῶν α΄.]

Διαφόρως δὲ ἱστορεῖται περὶ Κυζίκου τοῦ Αἰνέου· οἱ μὲν γὰρ αὐτὸν ἔφασαν ἁρμοσάμενον Λάρισαν τὴν Πιάσου, ᾗ ὁ πατὴρ ἐμίγη πρὸ γάμου, μαχόμενον ἀποθανεῖν, τινὲς δὲ προσφάτως γήμαντα Κλείτην συμβαλεῖν δι' ἄγνοιαν τοῖς μετὰ Ἰάσονος ἐπὶ τῆς Ἀργοῦς πλέουσι καὶ οὕτως πεσόντα πᾶσι μεγάλως ἀλγεινὸν πόθον ἐμβαλεῖν, ἐξόχως δὲ τῇ Κλείτῃ· ἰδοῦσα γὰρ αὐτὸν ἐρριμμένον περιεσχέθη καὶ πολλὰ κατωδύρατο, νύκτωρ δὲ λαθοῦσα τὰς θεραπαινίδας ἀπό τινος δένδρου ἀνήρτησεν ⟨ἑαυτήν⟩.

XXIX. Περὶ Δάφνιδος.

[Ἱστορεῖ Τίμαιος Σικελικοῖς.]

Ἐν Σικελίᾳ δὲ Δάφνις Ἑρμοῦ παῖς ἐγένετο, σύ- **1**
ριγγί τε δὴ δεξιῶς χρήσασθαι καὶ τὴν ἰδέαν ἐκπρεπής. Οὗτος εἰς μὲν τὸν πολὺν ὅμιλον ἀνδρῶν οὐ κατῄει, βουκολῶν δὲ κατὰ τὴν Αἴτνην χείματός τε καὶ θέρους

2 cf. **Schol. Apoll. Rhod. I 1063** *τὰ δ' ἑξῆς* Hir. *Ἀπολλώνιος*] **Arg. I 936—1076** 4 *κυζίκ*[o]*ν* in ras. P *Αἰνέος* (scil. *Αἰνέως*) Gal. 5 *λάρισαν* P, *Λάρισσαν* vulgo, restituit Mein. in Delect. poet. Anth. gr. p. 116. 6 *ἐμ*[*ί*]*γη* in lit. P 9 *μεγάλως* P, *μὲν* ⟨*τοῖς*⟩ *ἄλλοις* Hr. 11 *περιεχύθη* Legr. 13 ⟨*ἑαυτήν*⟩ add. Goensius obs. misc. p. 54.

15 TÍMA[IOC] in ras. P hac in pag. capitum notulae in marg. laterali exaratae sunt, quia tria capita in una pagina de fabula v. **Stesichor. ap. Aelian. V. H. X 18** 17 *δή τε* P, *τε δὴ* Pass., *δὴ* [*τε*] Scal., [*δή*] *τε* Legr., *δή τι* Iacobs. ad Philostr. p. 455, adiectivum velut *ἐπιτήδειος* latere susp. Kayserus *δεξιὸς* Gal. *χρῆσθαι* Scal. *εὐπρεπής* Schneiderus 18 *εἰς μὲν* ⟨*πόλιν*⟩ [*τὸν πολὺν ὅμιλον ἀνδρῶν*] Hir.

ἠγραύλει. Τούτου λέγουσιν Ἐχεναΐδα νύμφην ἐρασθεῖσαν παρακελεύσασθαι αὐτῷ γυναικὶ μὴ πλησιάζειν· μὴ πειθομένου γὰρ αὐτοῦ συμβήσεσθαι τὰς ὄψεις ἀπο-
2 *βαλεῖν. Ὁ δὲ χρόνον μέν τινα καρτερῶς ἀντεῖχεν, καίπερ οὐκ ὀλίγων ἐπιμαινομένων αὐτῷ, ὕστερον δὲ μία τῶν κατὰ τὴν Σικελίαν βασιλίδων οἴνῳ πολλῷ δηλησαμένη αὐτὸν ἤγαγεν εἰς ἐπιθυμίαν αὐτῇ μιγῆναι. Καὶ οὗτος ἐκ τοῦδε ὁμοίως Θαμύρᾳ τῷ Θρᾳκὶ δι' ἀφροσύνην ἐπεπήρωτο.*

XXX. Περὶ Κελτίνης.

Λέγεται δὲ καὶ Ἡρακλέα, ὅτε ἀπ' Ἐρυθείας τὰς Γηρυόνου βοῦς ἤγαγεν, ἀλώμενον διὰ τῆς Κελτῶν χώρας ἀφικέσθαι παρὰ Βρεταννόν· τῷ δὲ ἄρα ὑπάρχειν θυγατέρα Κελτίνην ὄνομα· ταύτην δὲ ἐρασθεῖσαν τοῦ Ἡρακλέους κατακρύψαι τὰς βοῦς μὴ θέλειν τε ἀποδοῦναι, εἰ μὴ πρότερον αὐτῇ μιχθῆναι· τὸν δὲ Ἡρακλέα τὸ μέν τι καὶ τὰς βοῦς ἐπειγόμενον ἀνασώσασθαι, πολὺ μᾶλλον μέντοι τὸ κάλλος ἐκπλαγέντα τῆς κόρης συγγενέσθαι αὐτῇ, καὶ αὐτοῖς χρόνου προήκοντος γενέσθαι παῖδα Κελτόν, ἀφ' οὗ δὴ Κελτοὶ προσηγορεύθησαν.

1 in marg. sub CIKEΛI signum: ; (KOIC) 2 *πλησιαζειν* P
3 *πειθομένῳ γὰρ αὐτῷ* Legr. *συμβήσεται* P, corr. idem
7 *αὐτῷ* P, corr. He. 8 *οὗτως* He. *ὁμο[ί]ως* in ras. P
12 *ἀλώμενον* P 16 *πρὶν ἤ* Schneiderus *μιγείη* Hr. — *μιχθῆναι τὸν Ἡρακλέα· τὸν μέντοι —, πολὺ δὲ μᾶλλον τὸ κάλλος* e. q. s. Legr. *μιχθῆναι·* | *τὸν* **P fol. 187r** 17 *ἐπ[ει]γόμενον* in ras. P 18 *ἐκπλαγέντ[α]* P in lit. 21 in marg. glossa: *πόθεν κελτοὶ τὸ [ἔ]θνος* (in ras.) *οὕτω λέγεται* :|

XXXI. Περὶ Διμοίτου.

[Ἱστορεῖ Φύλαρχος.]

Λέγεται δὲ καὶ Διμοίτην ἁρμόσασθαι μὲν Τροι- 1
ζῆνος τἀδελφοῦ θυγατέρα Εὐῶπιν· αἰσθανόμενος δὲ
συνοῦσαν αὐτὴν διὰ σφοδρὸν ἔρωτα τἀδελφῷ, δηλῶσαι
τῷ Τροιζῆνι· τὴν δὲ διὰ τὸ δέος καὶ αἰσχύνην ἀναρ-
τῆσαι αὑτὴν πολλὰ πρότερον λυπηρὰ καταρασαμένην
τῷ αἰτίῳ τῆς συμφορᾶς. Ἔνθα δὴ τὸν Διμοίτην μετ' 2
οὐ πολὺν χρόνον ἐπιτυχεῖν γυναικὶ μάλα καλῇ τὴν
ὄψιν ὑπὸ τῶν κυμάτων ἐκβεβλημένῃ καὶ αὐτῆς εἰς
ἐπιθυμίαν ἐλθόντα συνεῖναι· ὡς δὲ ἤδη ἐνεδίδου τὸ
σῶμα μῆκος χρόνου, χῶσαι αὐτῇ μέγαν τάφον καὶ
οὕτως μὴ ἀνιεμένου τοῦ πάθους ἐπικατασφάξαι αὑτόν.

XXXII. Περὶ Ἀνθίππης.

Παρὰ δὲ Χάοσι μειρακίσκος τις τῶν πάνυ δοκίμων 1
Ἀνθίππης ἠράσθη. Ταύτην ὑπελθὼν πάσῃ μηχανῇ πεί-
θει αὐτῷ συμμιγῆναι· ἡ δὲ ἄρα καὶ αὐτὴ οὐκ ἐκτὸς
ἦν τοῦ πρὸς τὸν παῖδα πόθου· καὶ ἐκ τοῦδε λανθά-
νοντες τοὺς αὐτῶν γονεῖς ἐξεπίμπλασαν τὴν ἐπιθυμίαν.
Ἑορτῆς δέ ποτε τοῖς Χάοσι δημοτελοῦς ἀγομένης καὶ

2 vid. Lucht. Phyl. fr. p. 142 3 *Διμοίτης* Legr. *τἀδελφοῦ* (et deinde *τἀδελφῶι*) P 4 *αἰσθανόμενον* He. 5 *αὐτ[ὴν]* in ras. P 6 *διὰ [τὸ] δέος* Hir. 7 *αὐτὴν* P *λυγρὰ* Hr. 10 *ἐ[κ]βεβλ[η]μένη* P in ras. 11 *ἐλθόντ[α]* in lit. P 12 *καὶ οὕτως μὴ ἀνιέμενον* P, *ἀνιεμένου* *, *μηδὲ καὶ οὕτως ἀνιεμένου* He., *μηδὲ οὕτως ἀνιεμένου* Schneiderus, *καὶ οὐδ' ὣς ἀνιεμένου* Iacobs. add. anim. in Athen. p. 148 15 *τίς* P 16 *ταύτηι* (sic!) P, corr. Abresch. lect. Aristaen. II 1, p. 185 17 *αὐτ[ῶι]* in ras. P *μιγῆναι* Legr. 18 *κἀκ τοῦδε* Hr. *λανθάνοντε* Corn. 19 *τὺς* (o supra) P *αὐτῶν* Hr.

πάντων εὐωχουμένων ἀποσκεδασθέντες εἴς τινα δρυμὸν
2 *κατειλήθησαν. Ἔτυχε δὲ ἄρα ὁ τοῦ βασιλέως υἱὸς Κίχυ-*
ρος πάρδαλιν διώκων· ἧς συνελαθείσης εἰς ἐκεῖνον τὸν
δρυμὸν ἀφίησιν ἐπ' αὐτὴν τὸν ἄκοντα καὶ τῆς μὲν
ἁμαρτάνει, τυγχάνει δὲ τῆς παιδός· ὑπολαβὼν δὲ τὸ
θηρίον καταβεβληκέναι ἐγγυτέρω τὸν ἵππον προσελαύ-
νει· καὶ καταμαθὼν τὸ μειράκιον ἐπὶ τοῦ τραύματος
τῆς παιδὸς ἔχον τὼ χεῖρε ἐκτός τε φρενῶν ἐγένετο
καὶ περιδινηθεὶς ἀπολισθάνει τοῦ ἵππου εἰς χωρίον
8 *ἀπόκρημνον καὶ πετρῶδες. Ἔνθα δὴ ὁ μὲν ἐτεθνήκει,*
οἱ δὲ Χάονες τιμῶντες τὸν βασιλέα κατὰ τὸν αὐτὸν
τόπον τείχη περιεβάλοντο καὶ τὴν πόλιν ἐκάλεσαν Κίχυ-
ρον. Φασὶ δέ τινες τὸν δρυμὸν ἐκεῖνον εἶναι τῆς
Ἐχίονος θυγατρὸς Ἠπείρου, ἣν μεταναστᾶσαν ἐκ Βοιω-
τίας βαδίζειν μεθ' Ἁρμονίας καὶ Κάδμου, φερομένην
τὰ Πενθέως λείψανα, ἀποθανοῦσαν δὲ περὶ τὸν δρυ-
μὸν τόνδε ταφῆναι· διὸ καὶ τὴν γῆν Ἤπειρον ἀπὸ
ταύτης ὀνομασθῆναι.

XXXIII. Περὶ Ἀσσάονος.

[Ἱστορεῖ Ξάνθος Λυδιακοῖς καὶ Νεάνθης β' καὶ Σιμίας ὁ Ῥόδιος.]

1 *Διαφόρως δὲ καὶ τοῖς πολλοῖς ἱστορεῖται [καὶ] τὰ Νιόβης· οὐ γὰρ Ταντάλου φασὶν γενέσθαι, ἀλλ' Ἀσ-*

2 *κατειλήθυσαν* Corn., *κατειλύθησαν* Legr., *κατεληλύθεισαν* He. *ἔτυχεν* P 6 *ἐγγυτέρω* [—] *τὸ*[*ν*] in ras. P 7 *μ*[*ει*]*ράκιον* P in lit. 9 *ἀπολισθαίνει* He. 10 *πετρῶδες.* | *ἔνθα* **P fol. 187ᵛ** 14 *ἠπείρου* P, *Ἠπειροῦς* Legr. in marg. cum glossae signo: *πόθεν ἡ γῆ ἤπειρος ἐκλήθη* P 20 ΝΈΑΝΘΟϹ P, corr. He. ϹΙΜΜΊΑϹ P, corr. Cob. ad Xanthum Lydium refertur historia a **Schol. Eur. Phoen. v. 159** 21 *καὶ* ante *τοῖς πολλοῖς* secl. Mein., ante *τὰ Νιόβης* *, nam vide cap. XXXII, 3: *φασὶ δέ τινες* 22 *ἀλλὰ Σάωνος* Hr. in Herm. XII p. 147 in

σάονος μὲν θυγατέρα, Φιλόττου δὲ γυναῖκα· εἰς ἔριν δὲ ἀφικομένην Λητοῖ περὶ καλλιτεκνίας ὑποσχεῖν τίσιν τοιάνδε· τὸν μὲν Φίλοττον ἐν κυνηγίᾳ διαφθαρῆναι, τὸν δὲ Ἀσσάονα τῆς θυγατρὸς πόθῳ σχόμενον αὐτὴν 4
αὐτῷ γήμασθαι· μὴ ἐνδιδούσης δὲ τῆς Νιόβης τοὺς 2
παῖδας αὐτῆς εἰς εὐωχίαν καλέσαντα καταπρῆσαι· καὶ τὴν μὲν διὰ ταύτην τὴν συμφορὰν ἀπὸ πέτρας ὑψηλοτάτης αὐτὴν ῥῖψαι, ἔννοιαν δὲ λαβόντα τῶν σφετέρων ἁμαρτημάτων διαχρήσασθαι τὸν Ἀσσάονα ἑαυτόν.

XXXIV. Περὶ Κορύθου.

[Ἱστορεῖ Ἑλλάνικος Τρωικῶν * * * καὶ Κεφάλων ὁ Γεργίθιος.]

1 *Ἐκ δὲ Οἰνώνης καὶ Ἀλεξάνδρου παῖς ἐγένετο Κόρυθος. Οὗτος ἐπίκουρος ἀφικόμενος εἰς Ἴλιον Ἑλένης ἠράσθη, καὶ αὐτὸν ἐκείνη μάλα φιλοφρόνως ὑπεδέχετο· ἦν δὲ τὴν ἰδέαν κράτιστος· φωράσας δὲ αὐτὸν ὁ πατὴρ ἀνεῖλεν.*
2 *Νίκανδρος μέντοι τὸν Κόρυθον οὐκ Οἰνώνης, ἀλλὰ Ἑλένης καὶ Ἀλεξάνδρου φησὶν γενέσθαι λέγων ἐν τούτοις·*

ἠρία τ' εἰν Ἀίδαο κατοιχομένου Κορύθοιο,
ὅν τε καὶ ἁρπακτοῖσιν ὑποδμηθεῖσ' ὑμεναίοις
Τυνδαρὶς, αἴν' ἀχέουσα, κακὸν γόνον ἤρατο βούτεω.

marg. glossae signo addito: (σημείωσαι) τὰ περὶ νιόβης ἄλλως ἱστορούμενα P   3 κυνηγία^ι P   4 ἐχόμενον Scal.   6 post καταπρῆσαι excidisse τὴν οἰκίαν putat He.   8 αὐτὴν ῥίψαι P (non αὑτὴν Hr.)   τὼν P   9 ἁμαρτήματων διαχρησασθαι P   11 Ἑλλάνικος P   lacunam supplevit He. β' (coll. **Schol. Hom. Il. XXI 242**), Τρωικοῖς Meursius   de fabula cf.: **Con. narr. 23, Tzetz. Lyc. 57, 851, Dict. 5, 5**   16 cf. Schneideri Nicandrea p. 130. sq.   17 γενέσθαι | λέγων **P fol. 188^r**   19 εἰν P, ἐν Corn., εἰς Legr.   ἀΐδαο P   20 ὅν τε καὶ P, ὅν τέκεν Heckerus   ὑποδμηθεὶς P   21 τυνδαρ[—]ὶς [αἰ]ν' in ras. P   καλὸν Mein.   ἤρατο He.   βούτῃ Potter. ad Lycophr. v. 58

XXXV. Περὶ Εὐλιμένης.

[Ἱστορεῖ Ἀσκληπιάδης ὁ Μυρλεανὸς Βιθυνιακῶν α′.]

1 *Ἐν δὲ Κρήτῃ ἠράσθη Λύκαστος τῆς Κύδωνος θυ-*
γατρὸς Εὐλιμένης, ἣν ὁ πατὴρ Ἀπτέρῳ καθωμολογή-
⟨σα⟩το πρωτεύοντι τότε Κρητῶν· ταύτῃ κρύφα συνὼν
2 *ἐλελήθει. Ὡς δὲ τῶν Κρητικῶν τινες πόλεων ἐπισυν-*
έστησαν Κύδωνι καὶ πολὺ περιῆσαν, πέμπει τοὺς πευ-
σομένους εἰς θεοῦ, ὅ τι ἂν ποιῶν κρατήσειεν τῶν
πολεμίων. Καὶ αὐτῷ θεσπίζεται τοῖς ἐγχωρίοις ἥρωσι
σφαγιάσαι παρθένον. Ἀκούσας δὲ τοῦ χρηστηρίου
Κύδων διεκλήρου τὰς παρθένους πάσας, καὶ κατὰ δαί-
3 *μονα ἡ θυγάτηρ τυγχάνει. Λύκαστος δὲ δείσας περὶ*
αὐτῆς μηνύει τὴν φθορὰν καὶ ὡς ἐκ πολλοῦ χρόνου
συνείη αὐτῇ· ὁ δὲ πολὺς ὅμιλος πολὺ μᾶλλον ἐδικαίου
αὐτὴν τεθνάναι. Ἐπειδὴ δὲ ἐσφαγιάσθη, ὁ Κύδων τὸν
ἱερέα κελεύει αὐτῆς διατεμεῖν τὸ ἐπομφάλιον, καὶ οὕτως
εὑρέθη ἔγκυος. Ἄπτερος δὲ δόξας ὑπὸ Λυκάστου δεινὰ
πεπονθέναι, λοχήσας αὐτὸν ἀνεῖλε καὶ διὰ ταύτην τὴν
αἰτίαν ἔφυγε πρὸς Ξάνθον εἰς Τέρμερα.

XXXVI. Περὶ Ἀργανθώνης.

1 *Λέγεται δὲ καὶ Ῥῆσον, πρὶν εἰς Τροίαν ἐπίκουρον ἐλθεῖν, ἐπὶ πολλὴν γῆν ἰέναι προσαγόμενόν τε καὶ δασμὸν ἐπιτιθέντα· ἔνθα δὴ καὶ εἰς Κίον ἀφικέσθαι*

2 fabula aliter narratur ab **Apollod. I 2, 7** et **Hes. theog. 246** 4 *Ἀπτέρα* He. ex Eusebio *καθωμολόγητο* P, correxi 5 *κρη[τ]ῶν* P in lit. 8 *θεοῦ* P, *θεοὺς* Palairet. ap. Peerlkamp. ad Xenoph. Eph. I 5, p. 127 *κρατήσειν* Gal. 12 *λαγχάνει* He. 16 *ὑπομφάλιον* Mein. 17 *ἄπταρος* P 18 *πεπυθέναι* P 20 cf. **Simylum** (Bergk. **66, 3**), **Eust. ad Dion. Per. 322 et 809** 23 *δ[ασ]μὸν* in ras. P

κατὰ κλέος γυναικὸς καλῆς· Ἀργανθώνη αὐτῇ ὄνομα.
Αὕτη τὴν μὲν κατ' οἶκον δίαιταν καὶ μονὴν ἀπέστυ-
γεν, ἀθροισαμένη δὲ κύνας πολλοὺς ἐθήρευεν οὐ μάλα
τινὰ προσιεμένη. Ἐλθὼν οὖν ὁ Ῥῆσος εἰς τόνδε τὸν 2
χῶρον βίᾳ μὲν αὐτὴν οὐκ ἦγεν, ἔφη δὲ θέλειν αὐτῇ
συγκυνηγεῖν· καὶ αὐτὸς γὰρ ὁμοίως ἐκείνῃ τὴν πρὸς
ἀνθρώπους ὁμιλίαν ἐχθαίρειν· ἡ δὲ ταῦτα λέξαντος
ἐκείνου κατήνεσε πειθομένη αὐτὸν ἀληθῆ λέγειν.
Χρόνου δὲ πολλοῦ διαγενομένου εἰς πολὺν ἔρωτα
παραγίνεται τοῦ Ῥήσου. Καὶ τὸ μὲν πρῶτον ἡσυχάζει 3
αἰδοῖ κατεχομένη· ἐπειδὴ δὲ σφοδρότερον ἐγίνετο τὸ
πάθος, ἀπετόλμησεν εἰς λόγους ἐλθεῖν αὐτῷ, καὶ οὕτως
ἐθέλουσαν αὐτὴν ἐκεῖνος ἠγάγετο γυναῖκα. Ὕστερον
δὲ πολέμου γενομένου τοῖς Τρωσὶ μετῆεσαν αὐτὸν οἱ
βασιλεῖς ἐπίκουρον· ἡ δὲ Ἀργανθώνη, εἴτε καὶ δι'
ἔρωτα, ὃς πολὺς ὑπῆν αὐτῇ, εἴτε καὶ ἄλλως κατα-
μαντευομένη τὸ μέλλον, βαδίζειν αὐτὸν οὐκ εἴα. Ῥῆ- 4
σος δὲ μάλα κακιζόμενος ἐπὶ μονῇ οὐκ ἠνέσχετο, ἀλλὰ
ἦλθεν εἰς Τροίαν καὶ μαχόμενος ἐπὶ ποταμῷ τῷ νῦν
ἀπ' ἐκείνου Ῥήσῳ καλουμένῳ πληγεὶς ὑπὸ Διομήδους
ἀποθνήσκει. Ἡ δὲ ὡς ᾔσθετο τεθνηκότος αὐτοῦ, αὖτις
ἀπεχώρησεν εἰς τὸν τόπον, ἔνθα ἐμίγη πρῶτον αὐτῷ,
καὶ περὶ αὐτὸν ἀλωμένη θαμὰ ἐβόα τοὔνομα τοῦ Ῥή-

1 αὐτῇ [÷] ὄνομα P in ras. 2 μόνην P ἀπεστύγει Hir. 3 πολλὰς idem 4 τόν δὲ P 6 τὴν | πρὸς P fol. 188ᵛ 8 ἀληθ[ῆ] in lit. P 10 παράγεται He., παροτρύνεται Legr. ἡσυχάζειν et (11) κατεχόμενον P, corr. He. 13 ἐθέλουσαν Legr., ἐθέλων P, ἐθέλων ⟨ἐθέλουσαν⟩ Pass., item om. [αὐτὴν] Kayserus 14 τρωσι P 15 εἴτε καὶ δι'] εἴτε γοῦν δι' Legr. 18 μαλα-κίζομενος P, corr. Peerlkampius in Bibl. crit. nov. II p. 220 μάλα προπηλακιζόμενος Mein. dubitanter 19 ἐπι P ⟨τῇ⟩ μονῇ Cob. 21 αὖτ[ι]ς in ras. P, αὐτίκα Hir. 22 ἀνεχώ-ρησεν Hr. ἐμ[ί]γη in lit. P 23 ἀλωμένη P

σου· τέλος δὲ [εἶτα καὶ] ποταμῷ προσιεμένη διὰ λύπην ἐξ ἀνθρώπων ἀπηλλάγη.

1 [*εἶτα καὶ*] seclusi; [*εἶτα*] He., *καὶ* in *τῷ* mutavit Hauptius; *τέλος δὲ* * * * * *εἶτα* Cob., ante et post *εἶτα* lacunam statuit Mein. (sive *ἀπειπασα*); pro *εἶτα σῖγα* Hr.; *τέλος δὲ Κίῳ ποταμῷ* Duentzerus in Philol. IV p. 384 (coll **Apoll. Rhod. I 1178, Dion. Per. 806**); *τέλος δὲ σῖτα καὶ ποτὰ μὴ προσιεμένη* E. Rohdius in Mus. Rhen XLIX p. 624 sq.; *προσημένη* Lenr. Totus locus cum Schneidero sic restituendus: *εἶτα δὲ καὶ ποταμῷ προσιεμένη τέλος διὰ λύπην* etc., cum Iacobsio (in nov. bibl. crit. 1822, I p. 189): *τέλος δὲ ἐκτακεῖσα, ποταμῷ προσιεμένη* .... sive: *τέλος δὲ ἐτάκη ποταμῷ προσιεμένη διὰ λύπην καὶ ἐξ ἀνθρώπων ἀπηλλάγη.*

Subscriptio in codice:

ΠΑΡΘΕΝΙΟΥ ⁂ ΝΙΚΑΕΩΣ
ΠΕΡΙ ΕΡΩΤΙΚΩΝ ΠΑΘΗΜΑΤΩΝ

INDICES.

I.

Index auctorum.

[Qui ab ipso Parthenio laudantur, asterisco sunt notati.]

II.

Index nominum et rerum.

[Typis erectis nomina, quae in poetarum fragmentis leguntur, notata sunt; significatur A. A. litteris Alexander Aetolus, Nicand. Nicandrus, Nicaen. Nicaenetus, L. c. Λέϲβου κτίϲεωϲ auctor.]

ΑΝΤΩΝΙΝΟΥ ΛΙΒΕΡΑΛΙΣ

ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ ΣΥΝΑΓΩΓΗ.

Conspectus siglorum adhibitorum:

P. = **codex Palatinus 398 (saec. IX aut X).**
Bast. = Bastius ('epist. crit. super Anton. Lib., Parth. et Aristaen.' Lipsiae 1809).
Berk. = Berkelius (ed. I. 1674; ed. II. 1677).
Bl. = Blumius ('de Antonino Lib.' Frisingae 1892).
Gal. = Galeus (ed. 1675).
Ko. = Kochius (ed. 1832).
Ma. = Martini.
Mu. = Munckerus (ed. 1675).
N. = Nauckii coniecturae, quas per litteras mecum communicauit.
Od. = Oderus ('de Antonino Lib.' Bonnae 1886).
Schn. = Otto Schneiderus.
Ver. = Verheykius (ed. 1774).
West. = Westermannus (ed. 1843 in Mythographis graecis p. 200—238).
Xyl. = Xylander (ed. princ. 1568).

Uncis quadratis [ ] circumsaepta sunt, quae eicienda e contextu esse uidebantur, fractis ⟨ ⟩ quae in libro ms. quidem omissa aut ex aliorum aut ex nostra coniectura addenda erant.

Quaecumque erectis litteris descripta sunt, ab Antonino Liberali aliena sunt.

Tabula argumenti prior.

In fronte fol. 189r cod. Pal. legitur inscriptio

ΑΝΤΩΝΊΝΟΥ ΛΙΒΕΡΑΛΙϹ (deest acc.)
ΜΕΤΑΜΟΡΦΏϹΕΩΝ, ϹΥΝΑΓΩΓΉ.

Sequitur hic index fabularum Ant. Lib. [litt. q. u. maiusc. exaratus]:

α′ — πελειάϲ
β′ — μελεαγρίδεϲ
γ′ — ἰ̈έραξ
ε′ — αἰγυπιοί
πῶϋγξ
αἰγιθαλλόϲ (supra alt. ι inductus acc.)
ϛ′ — αἰετόϲ
φήνη
ζ′ — ἄνθοϲ
ἐρῳδιόϲ
ϲχοινεύϲ
ἄκανθοϲ
ἀκανθυλλίϲ
ὄκνοϲ
κορυδόϲ
θ′ — ἠμαθίδεϲ
κολυμβίϲ
ἴ̈υγξ
κεγχρίϲ
θ′ — κίϲϲα
χλωρίϲ
ἀκαλανθίϲ
νῆϲϲα
πιπώ
δρακοντίϲ
ι′ — νυκτερίϲ
γλαῦξ
βύϲϲα
ια′ — ἁλιαιετόϲ
ἀηδών
χὲλιδών
ἀλκυών
ἔποψ
πελεκάϲ
ιβ′ — κύκνοι
ιδ′ — τριόρχηϲ
πιπώ
ὀρχῖλοϲ
αἴθυια
ιε′ — γλαῦξ

ιε' — βύcca
χαραδριόc
νυκτικόραξ
ις' — γέρανοc
ιη' — ἠέροποc
ιθ' — λάϊοc
κελεόc
κέρβεροc
ἀιγωλιόc
κ' — ὑπαίετοc (ι in rasura)
κόραξ

κ' — πίφιγξ
αἰγιθαλλόc (rursus supra alt. ι erasus acc.)
ἅρπη
ἅρπαcoc
κα' — cτῦξ
λαγῶc
γῦψ
ἴπνη
κβ' — κεράμβυξ
κδ' — ἀcκαλαβόc * * *

Reliqua desunt. Voce ἀcκαλαβόc desinit fol. 189^{r}. Excipitur autem hoc frustulum indicis altero pleniore nec decur-
= 189v tato laterculo, qui continetur foliis 190^{s} et 190^{r} codicis Palatini atque ipse quoque litt. maiusc. perscriptus est.

Tabula argumenti altera.

α' — Κτήcυλλα εἰc πελειάδα (πελιάδα P) μετὰ (μετα P) θάνατον.
β' — αἱ Μελεάγρου ἀδελφαὶ εἰc μελεαγρίδαc.
γ' — Ἱέραξ εἰc ἱέρακα.
δ' — Κραγαλεὺc εἰc πέτρον.
ε' — Αἰγυπιὸc καὶ Νεόφρων εἰc αἰγυπιούc, Βουλὶc (βουλιc P) εἰc πώυγγα, Τιμάνδρη εἰc αἰγίθαλλον (olim ult. syll. acc. praedita erat, qui nunc inductus est et translatus in antepaenultimam).
ς' — Περίφαc εἰc αἰετόν, ἡ γυνὴ αὐτοῦ εἰc φήνην.
ζ' — Ἄνθοc, Ἐρωδιόc, Σχοινεύc, Ἄκανθοc, Ἀκανθυλὶc εἰc ὄρνεα ὁμώνυμα, Αὐτόνοοc εἰc ὄκνον, Ἱπποδάμεια εἰc κορυδόν, ὁ ἀκόλουθοc Ἄνθου εἰc ἐρωδιὸν ἕτερον.
η' — Λαμία ἢ (ἡ P) Cύβαριc εἰc πηγὴν ὁμώνυμον Cύβαριν.
θ' — αἱ Πίεροc (πίεροc P, supra ιε: ΡΕ) θυγατέρεc εἰc ὄρνιθαc ὁμωνύμουc ἠμαθίδαc· ἔcτι δ' αὐτῶν ὀνόματα τάδε· κολυμβίc, ἴυγξ, κεγχρίc, κίccα, χλωρίc, ἀκαλανθίc, νῆccα, πιπώ, δρακοντίc.

ι′ — Λευκίππη, Ἀρϲίππη, Ἀλκαθόη, Μινύου θυγατέρεϲ, εἰϲ νυκτερίδα, γλαῦκα, βύζαν.

ια′ — Πανδάρεοϲ εἰϲ ἁλιαίετον, Ἀηδὼν καὶ Χελιδονὶϲ εἰϲ τὰ ὁμώνυμα ὄρνεα, ἡ δὲ μήτηρ τῆϲ Ἀηδόνοϲ εἰϲ ἀλκυόνα, ἀδελφὸϲ Ἀηδόνοϲ εἰϲ ἔποπα, Πολύτεχνοϲ ὁ ἀνὴρ αὐτῆϲ εἰϲ πελεκᾶνα.

ιβ′ — Κύκνοϲ ⟨ὁ addo⟩ Ἀπόλλωνοϲ καὶ Θυρίη ἡ μήτηρ αὐτοῦ εἰϲ κύκνουϲ.

ιγ′ — Ἀϲπαλὶϲ εἰϲ ξόανον μετὰ θάνατον.

ιδ′ — Μούνιχοϲ εἰϲ τριόρχην καὶ Ληλάντη ἡ γυνὴ αὐτοῦ εἰϲ πιπώ, τῶν παίδων αὐτοῦ Ἄλκανδροϲ εἰϲ ὀρχίλον, Μεγαλήτωρ εἰϲ ἰχνεύμονα, Φιλαῖοϲ (deest acc. in P) εἰϲ κύνα, Ὑπερίππη εἰϲ αἴθυιαν.

ιε′ — Μεροπὶϲ εἰϲ γλαῦκα, Βύϲϲα εἰϲ ὁμώνυμον ὀρνιθάριον, Ἄγρων εἰϲ χαραδριόν, Εὔμηλοϲ εἰϲ νυκτικόρακα.

ιϛ′ — Οἰνόη εἰϲ γέρανον.

ιζ′ — Λεύκιπποϲ ἐκ θηλείαϲ εἰϲ ἄρρενα.

ιη′ — Ἠέροποϲ εἰϲ ὄρνιθα ὁμώ | νυμον. fol. 190r

ιθ′ — Λάϊοϲ, Κελεόϲ, Κέρβεροϲ, Αἰγωλιὸϲ εἰϲ ὁμωνύμουϲ οἰωνούϲ.

κ′ — Κλεινὶϲ εἰϲ ὑπαίετον (acc. in ras.), Λύκιοϲ εἰϲ κόρακα, Ἀρτιμίχη εἰϲ πίφιγγα, Ὀρτύγιοϲ εἰϲ αἰγίθαλλον, Ἅρπη καὶ Ἅρπαϲοϲ εἰϲ ὁμωνύμουϲ ὄρνιθαϲ.

κα′ — Πολυφόντη εἰϲ ϲτύγα, Ὄρειοϲ εἰϲ λαγῶν, Ἄγριοϲ εἰϲ γύπα, ἡ θεράπαινα αὐτῶν εἰϲ ἴπνην.

κβ′ — Τέραμβοϲ εἰϲ κεράμβυκα.

κγ′ — Βάττοϲ εἰϲ πέτρον.

κδ′ — Ἀϲκαλαβὸϲ εἰϲ ζῷον ὁμώνυμον.

κε′ — Μητιόχη καὶ Μενίππη εἰϲ ἀϲτέραϲ κομήταϲ.

κϛ′ — Ὕλαϲ εἰϲ ἠχώ.

κζ′ — Ἰφιγένεια εἰϲ δαίμονα καλούμενον Ὀρϲιλόχην.

κη′ — Τυφῶν εἰϲ διάπυρον (haec tria uerba in rasura conl. sunt in P) μύδρον, Ἀπόλλων εἰϲ ἱέρακα, Ἑρμῆϲ εἰϲ ἶβιν, Ἄρηϲ
ϲί
εἰϲ λεπιδωτὸν ἰχθύν, Ἄρτεμιϲ εἰϲ αἴλουρον (αἴλουρον P), Διόνυϲοϲ εἰϲ τράγον, Ἡρακλῆϲ εἰϲ ἔλλον, Ἥφαιϲτοϲ εἰϲ βοῦν, Λητὼ εἰϲ μυγαλῆν (acc. deest in P).

κθ′ — Γαλινθιὰϲ εἰϲ γαλῆν.

λ' — Βιβλὶς εἰς ἁμαδρυάδα νύμφην ὁμώνυμον.
λα' — Μεσσάπιοι παῖδες εἰς δένδρα.
λβ' — Δρυόπη εἰς αἴγειρον.
λγ' — Ἀλκμήνη εἰς λίθον μετὰ θάνατον.
λδ' — Σμύρνα εἰς δένδρον ὁμώνυμον.
λε' — βουκόλοι εἰς βατράχους.
λϛ' — Πανδάρεος εἰς πέτρον.
λζ' — Δωριεῖς οἱ μετὰ Διομήδους εἰς ὄρνιθας μετὰ θάνατον.
λη' — λύκος εἰς πέτρον.
λθ' — Ἀρσινόη εἰς λίθον.
μ' — Βριτόμαρτις (βριτόμαρ | μαρτις P) εἰς ξόανον Ἄφαιαν.
μα' — ἀλώπηξ καὶ κύων εἰς λίθους.

I. Κτήσυλλα.

['Ιστορεῖ Νίκανδρος ἑτεροιουμένων γ'.] cod. Pal. fol. 191 B

Κτήσυλλα ἐγένετο Κεία τὸ γένος ἐξ Ἰουλίδος Ἀλκιδάμαντος θυγάτηρ. ταύτην ἰδὼν Ἑρμοχάρης Ἀθηναῖος χορεύουσαν Πυθίοις περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἐν Καρθαίᾳ ἐπεθύμησεν αὐτῆς καὶ ἐπιγράψας μῆλον ἔρριψεν ἐν τῷ ἱερῷ τῆς Ἀρτέμιδος, ἡ δὲ ἀνείλετο καὶ ἀνέγνω· (2) *⟨ἐπ⟩εγέγραπτο δὲ ὅρκος κατὰ τῆς Ἀρτέμιδος ἦ μὴν γαμηθήσεσθαι Ἑρμοχάρει Ἀθηναίῳ. ἡ μὲν οὖν Κτήσυλλα ἀπέρριψε τὸ μῆλον αἰδεσθεῖσα καὶ χαλεπῶς ἤνεγκεν [ὥσπερ ὅτε Κυδίππην Ἀκόντιος ἐξηπάτησεν].* (3) *Ἑρμοχάρει δὲ αἰτησαμένῳ κατήνεσε τὸν γάμον ὁ πατὴρ ὁ τῆς Κτησύλλης καὶ ὤμοσε τὸν Ἀπόλλωνα τῆς δάφνης ἁψάμενος. ἐπεὶ δὲ διῆλθεν ὁ τῶν Πυθίων χρόνος, Ἀλκιδάμας ἐκλαθόμενος τὸν ὅρκον, ὃν ὤμοσεν, ἑτέρῳ συνῴκιζε τὴν θυγατέρα.* (4) *καὶ ἡ παῖς ἔθυεν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. χα-*

Adnot. crit. 3 cf. Schn. Nic. p. 57 sqq. de fabula uide Pridik, 'de Cei insulae rebus' Berol. 1892 p. 19 not. 2 5 *περὶ* Ver.: *πάρα* P 8 *⟨ἐπ⟩εγέγραπτο* Ma.: *ἐγέγραπτο* P *κατὰ* in P oblitteratum restituit Xyl. 11 [*ὥσπερ — ἐξηπάτησεν*] utpote glossema expunxit Hercherus in Hermae uol. XII p. 317. In codicis margine ad haec uerba adscriptum est sigillum ☩ (= *ση*) quode cf. Gutschmid. Neue Heidelb. Jahrb. I p. 230 13 *ὁ πατὴρ* [*ὁ*] *τῆς Κτ.* N. *ὤμοσεν* P 16 *συνῴκισε* Broenstedtius (Reis. u. Untersuch. in Griech. I p. 96), sed cf. Bl. p. 12 17 *ἡ μὲν ἔθυεν* deleta uoce *παῖς* Fonteinius

λεπῶς δὲ φέρων Ἑρμοχάρης ἐπὶ τῷ τοῦ γάμου διαμαρτεῖν εἰσέδραμεν εἰς τὸ Ἀρτεμίσιον· καὶ ἡ παῖς αὐτὸν ἰδοῦσα κατὰ θεὸν ἠράσθη καὶ συνθεμένη διὰ τῆς τροφοῦ διαλαθοῦσα τὸν πατέρα νύχιος ἀπέπλευσεν εἰς τὰς Ἀθήνας καὶ γάμος ἐπράχθη τῷ Ἑρμοχάρει. (5) τεκοῦσα δ' ἡ Κτήσυλλα καὶ χαλεπῶς ἐκ τοῦ τόκου διατεθεῖσα ἐτελεύτησε κατὰ δαίμονα, ὅτι ὁ πατὴρ αὐτῆς ἐψεύσατο τὸν ὅρκον. καὶ τὸ μὲν σῶμα κομήσαντες ἔφερον ὅπως κηδεύσωσιν, ἐκ δὲ τῆς στρωμνῆς πελειὰς ἐξέπτη καὶ τὸ σῶμα τῆς Κτησύλλης ἀφανὲς ἐγένετο. (6) χρωμένῳ δ' Ἑρμοχάρει ὁ θεὸς ἀνεῖπεν ἱδρύσασθαι ἱερὸν παρὰ τοῖς Ἰουλιήταις ἐπώνυμον [Ἀφροδίτης] Κτησύλλης· ἔχρησε δὲ καὶ τοῖς Κείοις. οἱ δὲ θύουσιν fol. 191r ἄχρι νῦν, Ἰουλιῆται μὲν | Ἀφροδίτην Κτήσυλλαν ὀνομάζοντες, οἱ δὲ ἄλλοι Κτήσυλλαν Ἑκαέργην.

II. Μελεαγρίδες.

[Ἱστορεῖ Νίκανδρος Ἑτεροιουμένων γ'.]

Οἰνεὺς ὁ Πορθέως τοῦ Ἄρεως ἐβασίλευσεν ἐν Καλυδῶνι καὶ ἐγένοντο αὐτῷ ἐξ Ἀλθαίας τῆς Θεστίου

1 *τοῦ γάμου* Ma. (cf. praef. cap. II): *τούτου* P *ταύτης* dubitanter Od. *γάμου* N. 3 *κατὰ θεὸν* Mu. (cf. Od. p. 1 proxx.): *κατὰ θεῖον* P 4 *νύχιος* N. et Bl.: *νύχιον* P., cuius librarius perperam distinxit *τὸν π. νύχιον, ἀπέπλευσεν* 8 *κομήσαντες* Berk.: *κομίσαντες* P *κοσμήσαντες* idem Berk. et Jacobsius in ephem. Hal. 1806 nr. 281 9 *κηδεύσουσιν* Jacobsius in add. anim. in Athen. p. 286 11 *ἀνεῖλεν* N. in Mél. Gr.-Rom. tirés du Bull. de l'acad. de St.-Pétersburg uol. II p. 482 sqq.: sed *ἀνεῖπεν* (P) recte tuetur Bl. prouocans ad Poll. onom. 1, 17; 1, 19 12 [*Ἀφροδίτης*] Schn. l. l. p. 58 14 *Ἀφροδίτην* Perizonius ad Ael. uar. hist. IV 15: *ἀφροδίτῃ* duabus uirgulis inclusum P *Ἀφροδίτῃ* ante *Ἰουλιῆται* transponit Bast. 15 *Κεῖοι δὲ* N. fort. *οἱ δὲ ἄλλοι Κεῖοι* Ma. 17 cf. Schn. Nic. p. 59 sqq. de fabula uide Surber. 'die Meleagersage' Turici 1880 18 *Παρθάονος* Berk. (sed cf. Hom. Il. XIV 115)

⟨υἱοὶ μὲν⟩ Μελέαγρος, Φηρεύς, Ἀγέλεως, Τοξεύς, Κλύμενος, Περίφας, θυγατέρες δὲ Γόργη, Εὐρυμήδη, Δηιάνειρα, Μελανίππη. (2) ἐπεὶ δ' ἔθυεν ἀπαρχὰς ὑπὲρ τῆς χώρας, ἐκλανθάνεται τῆς Ἀρτέμιδος. αὕτη κατὰ μῆνιν ἐφορμᾷ σῦν ἄγριον, ὃς κατέφθειρε τὴν γῆν καὶ πολλοὺς ἀπέκτεινεν. ἔπειτα Μελέαγρος καὶ οἱ Θεστίου παῖδες συνήγειραν τοὺς ἀριστέας ἐκ τῆς Ἑλλάδος ἐπὶ τὸν σῦν, οἱ δὲ ἀφικόμενοι κτείνουσιν αὐτόν. (3) ὁ δὲ Μελέαγρος διανείμας τὰ κρέα αὐτοῦ τοῖς ἀριστεῦσι τὴν κεφαλὴν καὶ τὸ δέρος ἐξαιρεῖ γέρας ἑαυτῷ. Ἄρτεμις δέ, ἐπεὶ τὸν ἱερὸν σῦν ἔκτειναν, ἔτι μᾶλλον ἐχολώθη καὶ νεῖκος ἐνέβαλεν αὐτοῖς. οἱ γὰρ παῖδες οἱ Θεστίου καὶ οἱ ἄλλοι Κουρῆτες ἅπτονται τοῦ δέρους φάμενοι μετεῖναι τὰ ἡμίσεια τῶν γερῶν ἑαυτοῖς. (4) Μελέαγρος ⟨δὲ⟩ ἀφαιρεῖται κατὰ βίαν καὶ κτείνει τοὺς Θεστίου παῖδας. ἐκ ταύτης τῆς προφάσεως πόλεμος ἐγένετο Κουρῆσι καὶ Καλυδωνίοις· καὶ ὁ Μελέαγρος εἰς τὸν πόλεμον οὐκ ἐξῄει μεμφόμενος ὅτι αὐτῷ κατηράσατο ἡ μήτηρ διὰ τὸν τῶν ἀδελφῶν θάνατον. (5) ἤδη δὲ τῶν Κουρήτων μελλόντων αἱρεῖν τὴν πόλιν ἔπεισε τὸν Μελέαγρον ἡ γυνὴ Κλεοπάτρα τοῖς Καλυδωνίοις ἀμῦναι, ὁ δὲ ἀναστὰς ἐπὶ τὸν στρατὸν τῶν Κουρήτων καὶ αὐτὸς ἀποθνήσκει τῆς μητρὸς ἐμπρησάσης τὸν παρὰ τῶν Μοιρῶν αὐτῇ δοθέντα δαλόν· ἐπέκλωσαν γὰρ ἐπὶ τοσοῦτον αὐτὸν ἔσεσθαι χρόνον ἐφ' ὅσον ἂν ὁ δαλὸς διαμένῃ.

1 ⟨υἱοὶ μὲν⟩ Od. 10 ἀριστεῦσιν P ἐξαιρεῖ Ko.: ἐξαίρει P 11 — ἔκτειναν (linea in ras.) P 14 ἡμίσεια Schaefer. ad Lamb. Bos. ell. p. 280 15 ⟨δὲ⟩ West. 18 μεμνημένος N. 19 αὐτοῦ Heynius obs. ad Apollod. p. 51 20 κουρητῶν P sed supra η acc. erasus conspicitur 23 κουρήτων P fuit olim circumflexus supra ω 26 διαμένῃ Teucher.: διαμένει P διαμένοι Bast.

(6) ἀπέθανον δὲ καὶ οἱ ἄλλοι παῖδες ⟨οἱ⟩ Οἰνέως μαχόμενοι. καὶ πένθος ἐπὶ Μελεάγρῳ μέγιστον ἐγένετο | fol. 192a [παρὰ] Καλυδωνίοις. αἱ δὲ ἀδελφαὶ αὐτοῦ παρὰ τὸ σῆμα ἐθρήνουν ἀδιαλείπτως ἄχρις αὐτὰς Ἄρτεμις ἀψαμένη ῥάβδῳ μετεμόρφωσεν εἰς ὄρνιθας καὶ ἀπῴκισεν εἰς Λέρον τὴν νῆσον ὀνομάσασα Μελεαγρίδας. (7) αἱ δὲ ἄχρι νῦν [ἔτι] καθ' ὥραν ἔτους λέγονται πένθος ἐπὶ Μελεάγρῳ φέρειν. δύο δὲ τῶν Ἀλθαίας θυγατέρων Γόργην καὶ Δηιάνειράν φασι κατ' εὐμένειαν Διονύσου μὴ μεταβαλεῖν, ὅτι τὴν χάριν αὐτῷ Ἄρτεμις διδοῖ.

III. Ἱέραξ.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίᾳ.]

Ἱέραξ ἐγένετο ἐν τῇ Μυριανδυνῶν γῇ δίκαιος ἀνὴρ καὶ ἐπιφανής. οὗτος ἱερὰ Δήμητρος ἱδρύσατο ⟨πλεῖστα⟩ καὶ πλείστους αὐτῆς καρποὺς ἔλαβεν. (2) ἐπεὶ δὲ Τεῦκροι κατὰ χρόνον τὸν ἱκνούμενον οὐκ ἀπεδίδοσαν ἱερὰ Ποσειδῶνι, ἀλλὰ ὑπ' ὀλιγωρίας ἐξέλειπον, χαλεπήνας Ποσειδῶν τοὺς μὲν ἐκείνης ⟨τῆς γῆς⟩ καρποὺς ἔφθειρε, κῆτος δ' ἐξαίσιον ἐκ τῆς θαλάσσης ἐφώρμησεν αὐτοῖς. (3) οὐ δυνάμενοι δὲ πρὸς τὸ κῆτος καὶ τὸν λιμὸν ἀντέχειν ἀπέστελλον οἱ Τεῦκροι πρὸς τὸν

1 *ἀπέθανον — μαχόμετοι*] Od. uerum cf. Knaackius Wochenschr. f. kl. Phil. 1890 nr. 2 p. 38, qui recte post uoc. *μαχόμενοι* punctum poni iubet 1 ⟨*οἱ*⟩ Ma. 3 *παρα καλυδωνίοις* (= [*παρὰ*] *Καλ.*) P et Od. *παρὰ Καλ.* uolgo 7 *ἄχρι νῦν* [*ἔτι*] Ma. cf. Philol. N. S. uol. I p. 760 post *λέγονται* ras. exstat in P 8 *φέρεσθαι* Od. *δύο* in ras. P 9 *φ·ασὶν* P 10 *τὴν χάριν αὐτῶι* ÷ ÷ *Ἄρτ.* P *τὴν χ.* ⟨*ταύτην*⟩ *αὐ. Ἀ.* Mu. 11 *ἵέραξ* P (similiter u. 13. et p. 71, 1. 4) 14 ⟨*πλεῖστα*⟩ Bl. 17 *ἐξέλειπον* litt. *o* in ras. P 18 *ἐκείνης* ⟨*τῆς γῆς*⟩ Ma. *ἐκείνης* P *ἐκ γῆς* Ver. *ἐκείνῃ* Schaefer l. l. p. 520 *τῆς ἐκεῖ γῆς* E. Dittrich.

Ἱέρακα καὶ ἐδέοντο πρὸς τὸν λιμὸν ἐπαμῦναι κἀκεῖνος ἔπεμπε [τε] καὶ πυρὸν καὶ ἄλλην τροφήν. (4) Ποσειδῶν δὲ μηνίσας, ἐπεὶ κατέλυεν αὐτοῦ τὰς τιμάς, ἐποίησεν ὄρνιθα, ὃς ὀνομάζεται ⟨ἔτι καὶ⟩ νῦν ἱέραξ, καὶ τὸ ἦθος ἤλλαξεν ἀφανίσας· μέγιστα γὰρ ὑπ' ἀνθρώπων φιληθέντα πλεῖστον ἐποίησεν ὑπὸ τῶν ὀρνέων μισηθῆναι καὶ πολλοὺς ἀνθρώπους ἀποθανεῖν κωλύσαντα πλείστους ἐποίησεν [αὐτὸν] ὀρνίθων ἀποκτεῖναι.

IV. Κραγαλεύς.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α' καὶ Ἀθανάδας Ἀμβρακικοῖς.]

Κραγαλεὺς ὁ Δρύοπος ᾤκει γῆς τῆς Δρυοπίδος παρὰ τὰ λουτρὰ τὰ Ἡρακλέους, ἃ μυθολογοῦσιν Ἡρακλέα πλήξαντα τῇ κορύνῃ τὰς πλάκας τοῦ ὄρους ἀναβαλεῖν. (2) ὁ δὲ Κραγαλεὺς οὗτος ἐγεγόνει γηραιὸς ἤδη καὶ τοῖς ἐγχωρίοις ἐνομί | ζετο δίκαιος εἶναι καὶ fol. 192r
φρόνιμος. καὶ αὐτῷ νέμοντι βοῦς προσάγουσιν Ἀπόλλων καὶ Ἄρτεμις καὶ Ἡρακλῆς κριθησόμενοι περὶ Ἀμβρακίας τῆς ἐν Ἠπείρῳ. (3) καὶ ὁ μὲν Ἀπόλλων ἑαυτῷ προσήκειν ἔλεγε τὴν πόλιν, ὅτι Μελανεὺς υἱὸς ἦν αὐτοῦ ⟨ὁ⟩ βασιλεύσας μὲν Δρυόπων καὶ πολέμῳ λαβὼν τὴν πᾶσαν Ἤπειρον, γεννήσας δὲ παῖδας Εὔρυ-

2 ἔπεμπε [τε] Bast. ἔπεμπέ τε P ἔπ. δὲ Mu. 4 ⟨ἔτι καὶ⟩ νῦν Bl. ⟨ἔτι⟩ νῦν Od. et Ma. 5 [ἀφανίσας] E. Dittrich. μέγιστα — 8 ἀποκτεῖναι uerba sic restit. put. Fonteinius: πολλοὺς γὰρ ἀνθρώπους ἀποθανεῖν κωλύσαντα πλείστους ἐποίησεν αὐτὸν ὀρνίθων ἀποκτεῖναι καὶ μέγιστα ὑπ' ἀνθρώπων φιληθέντα πλεῖστον ὑπὸ τῶν ὄρνεων μισηθῆναι 8 [αὐτὸν] Od. 10 cf. Schn. Nic. p. 47 sqq. et Müller. Frg. Hist. Gr. IV p. 343. de fab. uide Oberhummer. 'Akarnanien' p. 61 proxx. 14 πατάξαντα N. 21 ⟨ὁ⟩ Bl.

τον καὶ Ἀμβρακίαν, ἀφ' ἧς ἡ πόλις Ἀμβρακία καλεῖται· καὶ αὐτὸς μέγιστα χαρίσασθαι ταύτῃ τῇ πόλει. (4) *Σισυφίδας μὲν γὰρ αὐτοῦ προστάξαντος ἀφικομένους κατορθῶσαι τὸν πόλεμον Ἀμβρακιώταις τὸν γενόμενον αὐτοῖς πρὸς Ἠπειρώτας, Γόργον δὲ τὸν ἀδελφὸν Κυψέλου κατὰ τοὺς αὐτοῦ χρησμοὺς λαὸν ἔποικον ἀγαγεῖν εἰς Ἀμβρακίαν ἐκ Κορίνθου, Φαλαίκῳ δὲ τυραννοῦντι τῆς πόλεως αὐτοῦ κατὰ μαντείαν Ἀμβρακιώτας ἐπαναστῆσαι καὶ παρὰ τοῦτο ⟨τοὺς⟩ πολλοὺς ἀπολέσαι τὸν Φάλαικον, τὸ δὲ ὅλον αὐτὸς ἐν τῇ πόλει παῦσαι πλειστάκις ἐμφύλιον πόλεμον καὶ ἔριδας καὶ στάσιν, ἐμποιῆσαι [ἀντὶ τούτων] δ' εὐνομίαν καὶ θέμιν καὶ δίκην, ὅθεν [αὐτὸν] ἔτι νῦν παρὰ τοῖς Ἀμβρακιώταις σωτῆρα Πύθιον ἐν ἑορταῖς καὶ εἰλαπίναις ᾄδεσθαι.* (5) *Ἄρτεμις δὲ τὸ μὲν νεῖκος κατέπαυε τὸ πρὸς τὸν Ἀπόλλωνα, παρ' ἑκόντος δ' ἠξίου τὴν Ἀμβρακίαν ἔχειν· ἐφίεσθαι γὰρ τῆς πόλεως κατὰ πρόφασιν τοιαύτην· ὅτε Φάλαικος ἐτυράννευε τῆς πόλεως,*

1 *ἀφ' ἧς* Mu. *ἐφ' ἧς* (fort. a libr. punctum superadd. est, ut *ἐφ'* in *ἀφ'* corr. esse significaret) P *ἐφ' ἧς* Xyl. plurimique edd. 2 *ταύτῃ τῇ π.* Mu. *τοῦτο τῇ π.* P ⟨*διὰ*⟩ *τοῦτο τῇ π.* Bl. 5 *Γόργον* Ko. *τόργον* P cf. ad h. rem Bl. p. 42, 19 *τὸν* [*ἀδελφὸν*] *Κυψ.* Bl. *τὸν υἱὸν Κυψ.* Boeckhius C. J. Gr. I p. 58 6 *αὐτοῦ* Od. sed cf. Bl. p. 10 9 *π. τ.* ⟨*τοὺς*⟩ *πολλοὺς ἀπολέσαι τὸν Φ.* Bast. *π. τ. πολλοὺς ἀπολέσθαι τ. Φ.* P *π. τ.* [*πολλοὺς*] *ἀ. κτλ.* Ko. *π. τ. πολλοὺς ἀπολέσθαι* ⟨*τῶν περὶ*⟩ *τὸν Φ.* Schneiderus in bibl. phil. Gott. III 5 p. 416 *π. τ. πολέμῳ ἀ.* et q. s. Bl. *π. τ. πολλοῦ ἀπολιπέσθαι τ. Φ.* Schn. *π. τ. πολλοὺς ἀπολέσθαι* ⟨*καὶ δὴ καὶ*⟩ *τ. Φ.* Ma. [*π. τ. πολλοὺς ἀπολέσ*[*θ*]*αι τὸν Φ.*] Od. 10 *αὐτὸν* Berk. 11 *παῦσαι* Xyl.: *ποιῆσαι* P *κοιμίσαι* Jacobs. in ephem. Hal. 1806 nr. 281 12 *ἐμποιῆσαι* [*ἀντὶ τούτων*] *δ' εὐν.* Buechelerus ap. Od. p. 6 not. 5 *ἐμπ. δ' ἀντὶ τού. εὐν.* Od. *ἀντὶ τού. δ' ἐμπ. εὐν.* Bl. 13 *καὶ δίκην*: *καὶ* postea add. a manu pr. in P [*αὐτὸν*] N. 17 *σχεῖν* uel *λαβεῖν* Ma. 18 *Φαῦλος* Burmannus et Jacobs. l. l. cl. **Ael. hist. an. XII. 40**

οὐδενὸς αὐτὸν δυναμένου κατὰ δέος ἀνελεῖν αὐτὴ κυνηγετοῦντι τῷ Φαλαίκῳ προφῆναι σκύμνον λέοντος, ἀναλαβόντος δὲ εἰς τὰς χεῖρας ἐκδραμεῖν ἐκ τῆς ὕλης τὴν μητέρα καὶ προσπεσοῦσαν ἀναρρῆξαι τὰ στέρνα τοῦ Φαλαίκου, | fol. 193 a *τοὺς δ' Ἀμβρακιώτας ἐκφυγόντας τὴν δουλείαν Ἄρτεμιν ἡγεμόνην ἱλάσασθαι καὶ ποιησαμένους ἀγροτέρης εἴκασμα παραστήσασθαι χάλκεον αὐτῷ θῆρα.* (6) *ὁ δὲ Ἡρακλῆς ἀπεδείκνυεν Ἀμβρακίαν τε καὶ τὴν σύμπασαν Ἤπειρον οὖσαν ἑαυτοῦ· πολεμήσαντας γὰρ αὐτῷ Κελτοὺς καὶ Χάονας καὶ Θεσπρωτοὺς καὶ σύμπαντας Ἠπειρώτας ὑπ' αὐτοῦ κρατηθῆναι, ὅτε τὰς Γηρυόνου βοῦς συνελθόντες ⟨ἐβούλευον⟩ ἀφελέσθαι, χρόνῳ δ' ὕστερον λαὸν ἔποικον ἐλθεῖν ἐκ Κορίνθου καὶ τοὺς πρόσθεν ἀναστήσαντας Ἀμβρακίαν συνοικίσαι.* (7) *Κορίνθιοι δὲ πάντες εἰσὶν ἀφ' Ἡρακλέους. ἃ διακούσας ὁ Κραγαλεὺς ἔγνω τὴν πόλιν Ἡρακλέους εἶναι. Ἀπόλλων δὲ κατ' ὀργὴν ἁψάμενος αὐτοῦ τῇ χειρὶ πέτρον ἐποίησεν ἵναπερ εἱστήκει. Ἀμβρακιῶται δὲ Ἀπόλ-*

1 marg. P litt. mai. adp. *περὶ Φαλαίκου* 2 *προφῆ'ναι* P 7 *παραστῆσαι* Od. sed cf. Bl. p. 11 8 *τὲ* P 9 *πολεμήσαντας γ. αὐτο Κελτους καὶ* P sed *αὐτο* in ras., in qua circumflexus supra *ο* et *ι* adscr. conspiciuntur, ita ut nulla dub. possit esse, quin olim in cod. exar. fuerit *αὐτῷ*: *πολεμήσαντος γ. αὐτοῦ Κελτούς, καὶ* Schn. l. l. p. 48 not. 2 10 *Κελτοὺς* P: *Κελαίθους* Berk. et Oberhummer l. l. p. 62 not. 1 cl. **Steph. Byz.** s. u. *Κέλαιθοι· ἔθνος Θεσπρωτικόν, προσεχὲς τῇ Θετταλίᾳ, Ῥιανὸς δ'* (cf. Mein. An. Alex. p. 187). *λέγονται καὶ Κελεθεῖς* (*Κελαιθεῖς* Mein. l. l.). *Σελλοὺς* Hemsterhusius. *Μολοττοὺς* Rohdeus et Eug. Dittrich *θεσπρώτους* P 11 *ὅτι* Gronou. ad Arr. exp. Alex. II 16 12 *συνελθόντες ⟨ἐβούλευον⟩ ἀφ.* Ma. conl. c. V § 4 et c. XXI § 4): *σ. ἀφ.* P *σ. ⟨ἔμελλον⟩ ἀφ.* Bl. *σ. ⟨ἤθελον⟩ ἀφ.* Hemsterhusius *σ. ⟨ἦσαν⟩ ἀφ.* Doruill. ad Char. p. 347 *συνῆλθον ἀφ.* Palmerius in ant. gr. II 7 *συνήθελον ἀφ.* nescio quis cf. Philol. N. S. uol. I p. 760 15 *ἃ δὴ ἀκ.* Schaefer. ad Dion. Hal. de comp. uerb. p. 124

λωνι μὲν σωτῆρι θύουσι, τὴν δὲ πόλιν Ἡρακλέους καὶ τῶν ἐκείνου παίδων ⟨εἶναι⟩ νενομίκασι, Κραγαλεῖ δὲ μετὰ τὴν ἑορτὴν Ἡρακλέους ἔντομα θύουσιν ἄχρι νῦν.

V. Αἰγυπιός.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίας α´.]

Ἀνθέως τοῦ Νομίονος ἐγένετο παῖς Αἰγυπιός· ᾤκει δὲ παρὰ τὴν ἐσχατιὰν τῆς Θεσσαλίας καὶ αὐτὸν ἐφίλησαν θεοὶ ὁσιότητος ἕνεκα καὶ ἄνθρωποι ὅτι ἦν μεγαλόφρων καὶ δίκαιος. (2) οὗτος ἰδὼν Τιμάνδρην ἠράσθη· μαθὼν δ' ὅτι ἀνδρὸς ἦν χήρα, πείσας χρήμασιν ἐμίγνυτο φοιτῶν εἰς τὰ ἐκείνης οἰκεῖα. πρὸς δὲ τοῦτο Νεόφρων ὁ παῖς τῆς Τιμάνδρης χαλεπῶς εἶχε (τῷ Αἰγυπιῷ δ' ἦν ἡλικιώτης) κἀκείνῳ δόλον ἐβούλευε. (3) δοὺς ⟨δὲ⟩ πλεῖστα δῶρα καὶ ἀναπείσας Βουλίδα τὴν Αἰγυπιοῦ μητέρα καὶ ἀγαγὼν εἰς τὰ οἰκεῖα συνάξεται σὺν αὐτῇ· προμαθὼν δὲ τὴν ὥραν, ed. Xyl. p. 7 med. ἣν εἰώθει παρὰ Τιμάνδρην ὁ Αἰ | γυπιὸς φοιτᾶν, τὴν μὲν αὐτοῦ μητέρα καθ' ἥντινα πρόφασιν ἐκ τῆς οἰκίας μετέστησεν, ἀντὶ δ' ἐκείνης τὴν Αἰγυπιοῦ μητέρα παρήγαγεν εἰς τὸν οἶκον ὡς ἐπανήξων πρὸς αὐτὴν καὶ ἀμφοτέρους ἐξηπάτησεν. (4) Αἰγυπιὸς δ' οὐδὲν ἐπιλεξάμενος ὧν εἰς αὐτὸν ἐμηχανᾶτο Νεόφρων μίγνυται τῇ μητρὶ δοκῶν εἶναι Τιμάνδρην· καὶ ἐπεὶ αὐτὸν ὕπνος ἔλαβεν, ἡ Βουλὶς ἔγνω τὸν παῖδα τὸν ἑαυτῆς.

2 ⟨*εἶναι*⟩ Ma. 4 *Αἰγύπιος* passim scribendum censet Nitsche, 'lex. myth.' ed. II. s. u. *Αἰγ.* 6 *Ἀνθέως* nescio quis apud Bast.: *ἀνθέοσ* P 11 *οἰκία* Berk. et Bl. 13 ‖ *δ' ἦν* ‖ P 14 ⟨*δὲ*⟩ Ma. ⟨*καὶ*⟩ nescio quis apud Ver. 16 *οἰκία* Bl. 17 fol. 193[s] in uoce *αἰγυπιὸς* litteris *αἰ* finitur: sequentia duo folia cod. Pal. intercidere 18 *αὐτοῦ* Ver. et Od. 20 *εἰς τὴν κοίτην* N. (conl. c. XXXIV § 2) 21 *ἀμφοτέρας* N.

καὶ ἀναλαβοῦσα ξίφος ἐβούλευεν ἐκείνου μὲν τὰς ὄψεις ἀφελέσθαι, ἑαυτὴν δὲ κτεῖναι· βουλῇ δ' Ἀπόλλωνος ἀνίησι τὸν Αἰγυπιὸν ὁ ὕπνος· ὁ δὲ γνοὺς οἷον ἔργον ἐμηχανήσατο Νεόφρων | ἐπ' αὐτῷ καὶ εἰς τὸν οὐρανὸν ed. Xyl. p. 8 *ἀναβλέψας ηὔξατο σὺν ἑαυτῷ πάντα⟨ς⟩ ἀφανισθῆναι.* (5) *Ζεὺς δὲ μετέβαλεν εἰς ὄρνιθας καὶ ἐγένοντο Αἰγυπιὸς μὲν καὶ Νεόφρων αἰγυπιοὶ ὁμώνυμοι, χρόαν δὲ καὶ μέγεθος οὐχ ὅμοιοι, ἀλλὰ ἐλάττων ὄρνις αἰγυπιὸς ἐγένετο Νεόφρων, ἡ δὲ Βουλὶς ἐγένετο πῶυγξ καὶ αὐτῇ τροφὴν ἔδωκεν ὁ Ζεὺς μηδὲν ἐκ γῆς φυόμενον, ἀλλὰ [ἐσθίειν] ὀφθαλμοὺς ἰχθύος ἢ ὄρνιθος ἢ ὄφεως, ὅτι ἔμελλεν Αἰγυπιοῦ τοῦ παιδὸς ἀφελέσθαι τὰς ὄψεις· Τιμάνδρην δὲ ἐποίησεν αἰγίθαλλον· καὶ ἐφάνησαν ἐπὶ ταὐτὸν οὐδέποθ' οἱ ὄρνιθες οὗτοι.*

VI. Περίφας.

Περίφας ἐγένετο ἐν τῇ Ἀττικῇ αὐτόχθων πρόσθεν ἢ φανῆναι Κέκροπα τὸν Γῆς. οὗτος ἐβασίλευσε τῶν ἀρχαίων ἀνθρώπων καὶ ἐγένετο δίκαιος καὶ πλούσιος καὶ ὅσιος καὶ ἱερὰ πλεῖστα ἐποίησεν Ἀπόλλωνι δίκας τε πλείστας ἐδίκασε καὶ αὐτὸν ἐμέμψατ' ἄνθρωπος οὐδείς, (2) *ἀλλὰ ἑκόντων ἡγεῖτο πάντων καὶ πρὸς ὑπερβολὴν αὐτοῦ τῶν ἔργων μετέβαλον ⟨εἰς αὐτὸν⟩ οἱ ἄνθρωποι τὰς τιμὰς τοῦ Διὸς καὶ ἔγνωσαν αὐτὰς εἶναι Περίφαντος καὶ ἱερὰ καὶ ναοὺς ἐποίησαν αὐτοῦ*

3 *ἀνίησιν* Xyl. (P) 5 *πάντα⟨ς⟩* Od. 8 *Αἰγυπιοῦ* Hemsterhusius 11 [*ἐσθίειν*] Ma. 13 *αἰγίθαλλον* Ma. cf. praef. cap. II *αἰγιθαλλόν* P *αἰγίθαλον* uel *αἰγιθαλόν* Mu. 15 hanc fabulam Boeo uindicat Schn. Nic. p. 43 16 [*πρόσθεν ἢ φ. Κ. τ. Γ.*] Od. 21 *ἡγεῖτο* Doruill. ad Char. p. 570: *ἡρεῖτο* Xyl. (P) 22 ⟨*εἰς αὐτὸν*⟩ N., cui uerba subsequentia *καὶ ἔγνωσαν — Περίφαντος* suspecta sunt.

καὶ Δία Σωτῆρα προσηγόρευσαν καὶ Ἐπόψιον καὶ Μειλίχιον. (3) *Ζεὺς δὲ νεμεσήσας ἐβούλετο μὲν σύμπασαν αὐτοῦ τὴν οἰκίαν κεραυνῷ συμφλέξαι, δεηθέντος* ed. Xyl. p. 9 *δ' Ἀπόλλωνος μὴ αὐτὸν ἀπολέσ | αι πανώλεθρον, ἐπεὶ περισσῶς αὐτὸν ἐτίμα, τοῦτο μὲν Ἀπόλλωνι δίδωσι Ζεύς, ἐλθὼν δ' εἰς τὰ οἰκία τοῦ Περίφαντος καὶ καταλαβὼν ὁμιλοῦντα τῇ γυναικί, πιέσας ἀμφοτέρους ταῖς χερσὶν ⟨αὐτὸν μὲν⟩ ἐποίησεν ὄρνιθα αἰετόν, τὴν δὲ γυναῖκα αὐτοῦ δεηθεῖσαν καὶ αὐτὴν ὄρνιθα ποιῆσαι σύννομον τῷ Περίφαντι ἐποίησε φήνην.* (4) *καὶ τῷ μὲν Περίφαντι δωρεῖται τιμὰς ἀντὶ τῆς ἐν ἀνθρώποις ὁσιότητος· ποιεῖ γὰρ αὐτὸν ἐν πᾶσι τοῖς ὄρνισι βασιλέα καὶ διδοῖ φυλάσσειν τὸ ἱερὸν σκῆπτρον καὶ προσιέναι πρὸς τὸν ἑαυτοῦ θρόνον· τῇ γυναικὶ δὲ τοῦ Περίφαντος, ἣν ἐποίησε φήνην, διδοῖ πρὸς ἅπασαν πρᾶξιν ἀνθρώποις αἰσίαν ἐπιφαίνεσθαι.*

VII. Ἄνθος.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίας α΄.]

Αὐτονόου τοῦ Μελανέως καὶ Ἱπποδαμείας ἐγένοντο υἱοὶ μὲν Ἐρῳδιὸς [καὶ] Ἄνθος Σχοινεὺς Ἄκανθος, θυγάτηρ δὲ Ἀκανθυλλίς, ᾗ κάλλιστον εἶδος ἔδωκαν οἱ θεοί. (2) *τῷ δὲ Αὐτονόῳ τούτῳ ἐγένοντο ἵππων*

4 *ἀπολέσαι* Od.: *ἀπολέσθαι* Xyl. (P) *ἐπεὶ περισσῶς* Bast. et Jacobs. 'spec. em. in auct. uet.' p. 108: *ἐπείπερ ἴσος* Xyl. (P) 5 *δίδωσι Ζεύς, ἐλθὼν δ' εἰς* Od. et N., qui (ut postea Bl.) hoc quoque prop.: *δίδωσιν· ἐλθὼν δ' εἰς* 6 *οἰκεῖα* N. 7 *ἀμφοτέρους* Ver.: *ἀμφοτέραις* Xyl. (P) 8 ⟨*αὐτὸν μὲν*⟩ Ma. *ὄρνιθα* Xyl.: *ἄνδρα* Fonteinius 13 *τὸ ἱ. σκῆπτρον* Xyl. (cf. praef. cap. II): *τὸν ἱ. σκηπτὸν* P Xyl. testante 20 *Ἐρῳδιὸς* Xyl. (P) cf. tab. arg. alt. sub ζ΄ [*καὶ*] West. 21 *Ἀκανθυλλίς* Ma. cf. § 7 et ind. I s. ζ΄ et Hesych. s. u. *ἀκανθυλλίς*: *Ἀκανθίς* Xyl. (P); *Ἀκανθυλίς* N. cf. ind. II s. ζ΄

ἀγέλαι πλεῖσται καὶ ἔνεμον αὐτὰς Ἱπποδάμεια ⟨ἡ⟩ τούτου γυνὴ καὶ οἱ παῖδες αὐτῶν. (3) *ἐπεὶ δὲ Αὐτονόῳ γῆν ἔχοντι πλείστην οὐδεὶς καρπὸς ἐφαίνετο κατ' ὀλιγωρίαν ἔργων, ἀλλ' ἔφερεν αὐτῷ σχοίνους ὁ χῶρος καὶ ἀκάνθας, ἀπ' αὐτῶν ὠνόμασε τοὺς παῖδας Ἄκανθον καὶ Σχοινέα καὶ Ἀκανθυλλίδα καὶ τὸν πρεσβύτατον Ἐρῳδιόν, ἐπεὶ αὐτὸν ἠρώησεν ὁ χῶρος.* (4) *οὗτος ὁ Ἐρῳδι | ὸς πλεῖστον ἐφίλησε τὰς ἀγέλας* ed. Xyl. p. 10 *τῶν ἵππων καὶ ἔτρεφεν αὐτὰς ἐν τῷ λειμῶνι. ἐπεὶ δὲ Ἄνθος [τοῦ Αὐτονόου παῖς] ἐξήλασε τὰς ἵππους ἐκ τοῦ λειμῶνος, αὗται εἰργόμεναι τροφῆς ἐξεθύμησαν καὶ τὸν Ἄνθον ἐπιστᾶσαι κατεβίβρωσκον πλεῖστα ἐπιβοώμενον ἀμῦναι τοὺς θεούς.* (5) *ὁ μὲν οὖν πατὴρ ὑπὸ ἄχους ἐκπλαγεὶς ὤκνησεν ἀπελάσαι τὰς ἵππους καὶ ὁ θεράπων τοῦ παιδός, ἡ δὲ μήτηρ διεμάχετο πρὸς τὰς ἵππους, ἀλλὰ διὰ τὴν τοῦ σώματος ἀσθένειαν οὐδὲν ἐδυνήθη πρὸς τὸν ὄλεθρον ἐπαμῦναι.* (6) *κἀκεῖνοι μὲν οὕτω τεθνεῶτα τὸν Ἄνθον ἔκλαιον, Ζεὺς δὲ καὶ Ἀπόλλων οἰκτείραντες πάντας αὐτοὺς ἐποίησαν ὄρνιθας, τὸν μὲν Αὐτόνοον ὄκνον, ὅτι [αὐτοῦ ὁ πατὴρ]*

1 ⟨ἡ⟩ Bl. 3 *ἐγίνετο* N 6 *Ἀκανθυλλίδα* Ma., *Ἀκανθίδα* Xyl. (P), *Ἀκανθυλίδα* N. 7 *Ἐρωδιὸν* Xyl. (P) *ἐπεὶ αὐτὸν ἠρώησεν ὁ χῶρος* Xyl. quid in P scriptum fuerit ignoramus, certo uero P non exhibuit *αὐτὸν*, quod de coni. sua dedit Xyl.: *ἐπ. αὐτὸς ἠρ. τοῦ χώρου* uel *τὸν χῶρον* Od., *ἐπ. Αὐτόνοος ἠρ. τὸν χῶρον* Knaackius in Wochenschrift f. kl. Philol. 1890 p. 38: *ἐπ. καρπὸν ἠρ. ὁ χῶρος* Kaibel. apud Bl. p. 44 8 *Ἐρωδιὸς* Xyl. (P) 9 *ἔτρεφον* Xyl. (P) *λειμῶνι* Xyl. *χειμῶνα* (sic) P teste Xyl. 10 [*τοῦ Αὐτ. παῖς*] Od. 13 *ὁ μὲν Ἄνθον π.* Toussaintius 13 [*καὶ* — 14 *ὁ θεράπων τοῦ π.*] Od., sed cf. c. XVIII § 3 18 *οὕτω* Xyl., *οὔτω* P test. Xyl. 20 *τὸν μὲν Αὐτ. ὄκνον* Bl.: *Αὐτ. μὲν εἰς τὸν ὄκνον* Xyl. (P): *Αὐτ. μὲν εἰς τὸν ὄκνον ⟨ἤλλαξαν⟩* uel *Αὐτ. μὲν [εἰς] τὸν ὄκνον* Ver., *Αὐτ. μὲν εἰργάσαντο ὄκνον* Bast. [*αὐτοῦ ὁ πατὴρ*] Od. et Ma. in Philol. N. S. I p. 760: *Ἄνθου ὁ πατὴρ* Kuhn. ad Pausan. X 28; *Ἄνθου*

ὤκνησεν ἀπελάσαι τὰς ἵππους, τὴν δὲ μητέρα κορυδόν, ὅτι ἐκορύσσετο πρὸς τὰς ἵππους μαχομένη περὶ τοῦ παιδός· (7) *αὐτὸν δὲ τὸν Ἄνθον καὶ τὸν Ἐρῳδιὸν καὶ Σχοινέα καὶ Ἀκανθυλλίδα γενομένους ὄρνιθας τῷ αὐτῷ ἐποίησαν ὀνόματι καλεῖσθαι καθὰ καὶ πρὶν ἢ μεταβαλεῖν αὐτοὺς ὠνομάζοντο, τὸν δ᾽ ὀπηδὸν τοῦ Ἄνθου κατὰ ταὐτὰ τῷ ἀδελφῷ τοῦ παιδὸς ἐποίησαν ἐρῳδιόν, ἀλλ᾽ οὐχ ὅμοιον· ἥσσων γάρ ἐστιν ἱκανῶς τοῦ πελλοῦ καὶ οὐ γίνεται σύνεδρος οὗτος ὁ ἐρῳδιὸς ἄνθῳ, καθάπερ οὐδ᾽ ὁ ἄνθος τῷ † ἐφίππῳ, ὅτι μέγιστα κακὰ ἔπαθεν* | ed. Xyl. p. 11 *ὁ Ἄνθος ὑπὸ τῶν ἵππων.* (8) *καὶ ἔτι νῦν ὅταν ἀκούσῃ φωνοῦντος ἵππου φεύγει μιμούμενος ἅμα τὴν φωνήν.*

VIII. Λάμια ἢ Cύβαρις.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ΄.]

Παρὰ τὰ σφυρὰ τοῦ Παρνασσοῦ πρὸς νότον ὄρος ἐστίν, ὃ καλεῖται Κίρφις παρὰ τὴν Κρῖσαν, καὶ ἐν αὐτῷ ἐστιν ἔτι νῦν σπήλαιον ὑπερμέγεθες, ἐν ᾧ θηρίον ᾤκει μέγα καὶ ὑπερφυές, καὶ αὐτὸ ⟨οἱ μὲν⟩ Λάμιαν, οἱ δὲ Σύβαριν ὠνόμαζον. (2) *τοῦτο καθ᾽ ἡμέραν ἑκάστην τὸ θηρίον ἐπιφοιτῶν ἀνήρπαξεν ἐκ τῶν*

ὧν πατὴρ Jacobsius ad Philostr. imag. p. 537 1 *ἀπέλασε* Xyl. (nim. error typ.) 3 *Ἐρωδιὸν* Xyl. (P) 4 *Ἀκανθυλίδα* N., *Ἀκανθίδα* Od. 5 [*καθὰ* — 6 *ὠνομάζοντο*] Od. 6 *τὸν δ᾽ ὀπηδὸν* Od.: *τὸν δὲ θεράποντα τὸν ὀπηδὸν* Xyl. (P) 7 *ταὐτὰ* Mu.: *ταῦτα* Xyl. (P) 8 *Ἐρωδιὸν* Xyl. (P) [*ἀλλ. οὐχ ὅ.* — 9 *πελλοῦ*] Od. 9 *Ἐρωδιὸς* Xyl. (P) 10 *ἐφίππῳ* deprauatum: *ἵππῳ* Xyl., ⟨*φίλος*⟩ *τῷ ἵππῳ* Bl., [*καθάπερ* — *ἐφίππῳ*] Od. 14 *Λαμία* Xyl. (P) 15 cf. Schn. Nic. p. 61 sqq. 17 *Κίρφις* et *Κρῖσαν* Schn. l. l. p. 6 not. 3: *Κιρφὶς* et *Κρίσαν* Xyl. (P) 19 ⟨*οἱ μὲν*⟩ Ma. in Philol. N. S. I p. 760 *Λαμίαν* Xyl. (P) 21 [*τὸ θηρίον*] N.

ἀγρῶν τὰ θρέμματα καὶ τοὺς ἀνθρώπους. ἤδη δὲ τῶν Δελφῶν βουλευομένων ὑπὲρ ἀναστάσεως καὶ χρηστηριαζομένων εἰς ἥντινα παρέσονται χώραν, ὁ θεὸς ἀπόλυσιν ἐσήμανε τῆς συμφορᾶς, εἰ ἑκόντες ἐθέλοιεν ἐκθεῖναι παρὰ τῷ σπηλαίῳ ἕνα κοῦρον τῶν πολιτῶν. (3) *κἀκεῖνοι καθάπερ ὁ θεὸς εἶπεν ἐποίουν. κληρουμένων δ' ἔλαχεν Ἀλκυονεὺς ὁ Διόμου καὶ Μεγανείρης παῖς, μονογενὴς ὢν τῷ πατρὶ καὶ καλὸς καὶ κατὰ τὴν ὄψιν καὶ τὸ τῆς ψυχῆς ἦθος.* (4) *καὶ οἱ μὲν ἱερεῖς τὸν Ἀλκυονέα στέψαντες ἀπήγαγον εἰς τὸ τῆς Συβάριδος σπήλαιον, Εὐρύβατος δὲ κατὰ δαίμονα ἐκ τῆς Κουρήτιδος ἀπιὼν ὁ Εὐφήμου παῖς, γένος μὲν ἔχων Ἀξιοῦ τοῦ ποταμοῦ, νέος δ' ὢν καὶ γενναῖος, ἐνέτυχεν ἀγομένῳ τῷ παιδί.* (5) *πληγεὶς ⟨δ'⟩ ἔρωτι καὶ πυθόμενος καθ' ἥντινα πρόφασιν ἔρχονται, δεινὸν ἐποιήσατο μὴ οὐκ ἀμῦναι πρὸς | δύναμιν, ἀλλὰ περιιδεῖν οἰκτρῶς* ed. Xyl. p. 12 *ἀναιρεθέντα τὸν παῖδα.* (6) *περισπάσας οὖν ἀπὸ τοῦ Ἀλκυονέως τὰ στέμματα καὶ αὐτοῦ ἐπὶ τὴν κεφαλὴν ἐπιθέμενος ἐκέλευεν ἀπάγειν ἑαυτὸν ἀντὶ τοῦ παιδός. ἐπεὶ δὲ αὐτὸν ⟨ἐπ' ἄντρον⟩ οἱ ἱερεῖς ἀπήγαγον, εἰσδραμὼν καὶ τὴν Σύβαριν ἐκ τῆς κοίτης συναρπάσας παρήνεγκεν εἰς ἐμφανὲς καὶ κατὰ τῶν πετρῶν ἔρριψεν.* (7) *ἡ δὲ καταφερομένη προσέκρουσε τὴν κεφαλὴν παρὰ τὰ σφυρὰ τῆς Κρίσης. καὶ αὐτὴ μὲν ἐκ τοῦ τραύματος ἀφανὴς ἐγένετο, ἐκ δὲ τῆς πέτρας ἐκείνης ἀνεφάνη πηγή, καὶ αὐτὴν οἱ ἐπιχώριοι καλοῦσι Σύβαριν· ἐκ*

3 *πορεύσονται* Ma. 4 *ἑκόντες* N.: *μένοντες* Xyl. (P) 9 ⟨*κατὰ*⟩ *τὸ* Sakolowski 12 ⟨*ἀπὸ*⟩ *Ἀξ.* Berk. 13 *Ἀξίου* P 14 ⟨*δ'*⟩ West. 18 *αὐτοῦ* Ma.: *αὐτὸς* Xyl. (P) 20 *ἐπεὶ δὲ αὐτὸν* ⟨*ἐπ' ἄντρον*⟩ *οἱ* Ma., *ἐπεὶ δ' ἐπ' ἄντρον οἱ ἱ.* Jacobs. in uers. germ. p. 94 not. 1 24 *Κίρφεως* Berk. 26 [*ἐκ δὲ ταύτ.* — pag. 80, 2 *ἔκτισαν*] Od.

cod. Pal. fol. 193 r *δὲ ταύτης καὶ Λοκροὶ πόλιν ἐν Ἰ | ταλίᾳ Σύβαριν ἔκτισαν.*

IX. Ἠμαθίδες.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ′.]

Ζεὺς Μνημοσύνῃ μιγεὶς ἐν Πιερίᾳ Μούσας ἐγέννησεν. ὑπὸ δὲ τὸν χρόνον τοῦτον ἐβασίλευε Πίερος αὐτόχθων Ἠμαθίας καὶ αὐτῷ θυγατέρες ἐγένοντο ἐννέα, καὶ χορὸν ἐναντίον ἔστησαν αὗται Μούσαις καὶ ἀγὼν ἐγένετο μουσικῆς ἐν τῷ Ἑλικῶνι. (2) *ὅτε μὲν οὖν αἱ θυγατέρες ᾄδοιεν τοῦ Πιέρου, ἐπήχλυε πάντα καὶ οὐδὲν ὑπήκουε πρὸς τὴν χορείαν, ὑπὸ δὲ Μουσῶν ἵστατο μὲν οὐρανὸς καὶ ἄστρα καὶ θάλασσα καὶ ποταμοί, ὁ δ' Ἑλικὼν ηὔξετο κηλούμενος ὑφ' ἡδονῆς εἰς τὸν οὐρανόν, ἄχρις αὐτὸν βουλῇ Ποσειδῶνος ἔπαυσεν ὁ Πήγασος τῇ ὁπλῇ τὴν κορυφὴν πατάξας.* (3) *ἐπεὶ δὲ νεῖκος ἤραντο θνηταὶ θεαῖς, μετέβαλον αὐτὰς αἱ Μοῦσαι καὶ ἐποίησαν ὄρνιθας ἐννέα καὶ ἔτι νῦν ὀνομάζονται παρ' ἀνθρώποις κολυμβάς, ἴυγξ, κεγχρίς, κίσσα, χλωρίς, ἀκαλανθίς, νῆσσα, πιπώ, δρακοντίς.*

X. Μινυάδες.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ′ καὶ Κόριννα.]

Μινύου τοῦ Ὀρχομενοῦ ἐγένοντο θυγατέρες Λευκίππη, Ἀρσίππη, Ἀλκαθόη καὶ ἀπέβησαν ἐκτόπως

1 a *ταλίᾳ* rursus incipit P 2 *ἐκάλησαν* (uol. nim. *ἐκάλεσαν*) Berk. 4 cf. Schn. Nic. p. 62 10 *τοῦ Πιέρου* Berk.: *Πίερος* P, cf. tab. arg. alt. s. *θ'* *ἐπήχλυεν* P 11 *ὑπήκουεν* P *ὑπὸ δὲ Μ.* ⟨*ᾠδῆς*⟩ Ma. 13 *ἑλικῶν* P 16 *ἤιραντο* P 18 *κολυμβάς* P, cf. Athen. p. 395 d et e, *κολυμβίς* utraque tab. arg. s. *θ'* 19 *νήσσα* P 21 cf. Schn. Nic. p. 62 sqq. et Bergk. Poet. lyr. gr. III[4] p. 551 23 Min. filiae aliter aliis audiunt scriptoribus: **Plut. qu. gr. c. 38 p. 369, 18 Dü.** *Λευκίππη, Ἀρσινόη, Ἀλκαθόη*; **Ael. var. hist. III 42, p. 57, 13**

φιλεργοί. πλεῖστα δὲ [καὶ] τὰς ἄλλας γυναῖκας ἐμέμψαντο, ὅτι ἐκλιποῦσαι τὴν πόλιν ἐν τοῖς ὄρεσιν ἐβάκχευον, ἄχρι Διόνυσος εἰκασθεὶς κόρῃ παρῄνεσεν αὐταῖς μὴ ἐκλείπειν τελετὰς [ἢ μυστήρια] τοῦ θεοῦ. (2) *αἱ δὲ οὐ προσεῖχον. πρὸς δὴ ταῦτα χαλεπήνας ὁ Διόνυσος ἀντὶ κόρης ἐγένετο ταῦρος καὶ λέων καὶ πάρδαλις καὶ ἐκ τῶν κελεόντων ἐρρύη νέκταρ αὐτῷ καὶ γάλα.* (3) *πρὸς δὲ ⟨ταῦτα⟩ τὰ σημεῖα τὰς κόρας ἔλαβε δεῖμα. καὶ μετ' οὐ πολὺ κλήρους εἰς ἄγγος αἱ τρεῖς ἐμβαλοῦσαι ἀνέπηλαν· ἐπεὶ δ' ὁ κλῆρος ἐξέπεσε Λευκίππης, ηὔξατο θῦμα τῷ θεῷ δώσειν καὶ Ἵππασον τὸν ἑαυτῆς παῖδα | διέσπασε σὺν ταῖς ἀδελ-* fol. 194a *φαῖς.* (4) *καταλιποῦσαι δὲ τὰ οἰκεῖα τοῦ πατρὸς ἐβάκχευον ἐν τοῖς ὄρεσι καὶ ἐδρέποντο κισσὸν καὶ μίλακα καὶ δάφνην, ἄχρις αὐτὰς Ἑρμῆς ἀψάμενος τῇ ῥάβδῳ μετέβαλεν εἰς ὄρνιθας· καὶ αὐτῶν ἡ μὲν ἐγένετο νυκτερίς, ἡ δὲ γλαῦξ, ἡ δὲ βύξα. ἔφυγον δὲ αἱ τρεῖς τὴν αὐγὴν τοῦ ἡλίου.*

XI. Ἀηδών.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίᾳ.]

Πανδάρεος ᾤκει τῆς γῆς τῆς Ἐφεσίας, ἵν' ἐστὶν ⟨ἔτι⟩ νῦν ὁ πρηὼν παρὰ τὴν πόλιν· ᾧ διδοῖ Δημήτηρ

He. Lips.: *Λευκίππη*, *Ἀρσίππη*, *Ἀλκιθόη*; cf. et. **Ouid. Met. IV 1 sqq.** 1 [*καὶ*] Ma. 2 *ἐκλιποῦσαι* P, sed prius *ι* in ras. ex *ει* corr. uidetur 4 [*ἢ μυστήρια*] Knaack. in Wochenschr. für klass. Phil. 1890 p. 38 5 *χαλεπήινας* P 7 ad h. uers. in marg. P lineola exstat obliqua. Cet. Jacobs. in uers. germ. p. 95 ex Antonini uerbis hunc uersum refingit: *αὐτίκα οἱ νέκταρ τε ῥέει γάλα τ' ἐκ κελεόντων* *αὐτὸ* uel *αὐταῖς* Bast. 8 ⟨*ταῦτα*⟩ Ma. 10 *τρεῖς* — *ἐμβαλοῦσαι* P 13 *οἰκία* Bl. 14 *ἐδρέποντο* Knaack. l. l.: *ἐνέμοντο* P, *ἐστέφοντο* Od. 16 $\text{αὐτ}^{\text{ῶν}}$ P 17 *βύξα* P, *βύζα* index II, *βύσσα* index I, *βύας* Berk. *ἔφιλον* Farnabius, *ἔλιπον* nesc. quis 21 *Πανδάρεος* dedi cf

δῶρον μηδέποτε βαρυνθῆναι τὴν γαστέρα ὑπὸ σιτίων, ὁπόσον ἂν πλῆθος εἰσενέγκηται. (2) *ἐγένετο δὲ τῷ Πανδαρέῳ θυγάτηρ Ἀηδών· ταύτην Πολύτεχνος ὁ τέκτων ἔγημεν, ὃς ᾤκει ἐν Κολοφῶνι τῆς Λυδίας, καὶ πλεῖστον χρόνον ἐτέρποντο συνοικοῦντες ἀλλήλοις. ἐγένετο δ' αὐτοῖς παῖς μονογενὴς Ἴτυς.* (3) *ἄχρι μὲν οὖν θεοὺς ἐτίμων, εὐδαίμονες ἦσαν· ἐπεὶ δὲ λόγον ἀχρεῖον ἀπέρριψαν, ὅτι πλέον ἀλλήλους Ἥρας καὶ Διὸς φιλοῦσιν,* [*καὶ*] *Ἥρα μεμψαμένη τὸν λόγον Ἔριν αὐτοῖς ἔπεμψεν, ἡ δὲ νεῖκος ἐνέβαλεν εἰς τὰ ἔργα. καὶ Πολυτέχνῳ μὲν ὀλίγον ἦν ἔτι δίφρον ἁρμάτιον ἐκποιῆσαι, Ἀηδόνι δὲ τὸν ἱστὸν ἐξυφῆναι καὶ συντίθενται εἰς ἀλλήλους ὅπως* ⟨*ὁποτέρῳ*⟩ *ἂν τάχιον ἀνυσθῇ τὸ ἔργον, τούτῳ θεράπαινα παρὰ τοῦ ἑτέρου γένηται.* (4) *καὶ ἐπειδὴ θᾶσσον ἡ Ἀηδὼν τὸν ἱστὸν ἐξύφανεν* (*Ἥρα γὰρ αὐτῇ συνελάμβανεν*), *ὁ Πολύτεχνος ἀχθόμενος τῇ νίκῃ τῆς Ἀηδόνος ἀφίκετο πρὸς τὸν Πανδάρεον καὶ ὑπὸ τῆς Ἀηδόνος προσεποιήσατο πεμφθῆναι, ὅπως αὐτῇ Χελιδονίδα τὴν ἀδελφὴν ἀπαγάγῃ, καὶ ὁ Πανδάρεος οὐδὲν ὑπονοήσας πονηρὸν δίδωσιν ἀπάγειν.* (5) *ὁ δὲ Πολύτεχνος παραλαβὼν τὴν κόρην* fol. 195r *ῄ | σχυνεν ἐν τῇ λόχμῃ καὶ ἄλλοις ἠμφίεσεν αὐτὴν*

praef. cap. II: *Πανδάρεως ως* in ras. P   p. 81, 22 ⟨*ἔτι*⟩ Ma. *Πρηὼν* Od.   1 [*δῶρον*] N   3 *Πανδάρεῳ* P   7 *ἔπειτα* Unger. Theb. parad. I p. 438   8 *ἄχαριν* N. in Mél. Gr.-Rom. II p. 482   9 [*καὶ*] West.   11 *ἐκποήσαι* P *ι* postea insertum   12 *ἐξυφῆ·ναι* P   13 *πρὸς* N.   ⟨*ὁποτέρῳ*⟩ Bl., ⟨*ὅτῳ*⟩ Mu., ⟨*ᾧ*⟩ Schaefer., in adpend. ad Bast. ep. crit. p. 280   15 *ἐξύφανεν* Ma.: *ἐξύφαινε* P   17 *Πανδάρεων* sed extr. syll. in ras. P   19 *Χελιδονίδα* Od.: *χελιδόνα* P   *ἀπαγάγῃ* Ko.: *ἂν ἀπαγάγηι* P, edd. ante Ko. *ἀναπαγάγῃ*   20 *Πανδάρεως* P   [*πονηρὸν*] N.   22 *ἐν τῳ* pro *ἐν τῇ*? Ma.

ἐσθήμασι κἀκ τῆς κεφαλῆς ἀπέκειρε τὴν κόμην καὶ ἠπείλησε θάνατον, εἰ ἐξερεῖ ποτε ταῦτα πρὸς τὴν Ἀηδόνα. (6) *καὶ ὁ μὲν ἐλθὼν εἰς τὰ οἰκία παραδίδωσι τῇ Ἀηδόνι κατὰ τὰ συγκείμενα ὡς θεράπαιναν τὴν ἀδελφήν, ἡ δὲ αὐτὴν διέφθειρε πρὸς τὰ ἔργα, μέχρις ἡ Χελιδονὶς ἔχουσα κάλπιν πλεῖστα παρὰ τὴν κρηνίδα κατωδύρετο καὶ αὐτῆς ἐπηκροάσατο τὸν λόγον ἡ Ἀηδών. ἐπεὶ δὲ ἀλλήλας ἔγνωσαν καὶ ἠσπάσαντο, ἐπεβούλευον τῷ Πολυτέχνῳ συμφοράν.* (7) *καὶ τὸν παῖδα κατακόψασαι ⟨καὶ⟩ τὰ κρέα ἐν λέβητι συνθεῖσαι ταῦτα μὲν ἧψον, Ἀηδὼν δὲ φράσασα πρὸς ἑαυτῆς γείτονα εἰπεῖν Πολυτέχνῳ δαίσασθαι τῶν κρεῶν, ἀφίκετο σὺν τῇ ἀδελφῇ πρὸς τὸν πατέρα Πανδάρεον καὶ ἐδήλωσεν οἵᾳ ἐχρήσαντο συμφορᾷ· Πολύτεχνος δὲ μαθὼν ὅτι τοῦ παιδὸς ἐδαίσατο τὰ κρέα, μετεδίωξεν αὐτὰς ἄχρι πρὸς τὸν πατέρα καὶ αὐτὸν οἱ θεράποντες οἱ τοῦ Πανδαρέου συνέλαβον καὶ ἔδησαν ἀφύκτῳ δεσμῷ, ὅτι ἐνελωβᾶτο εἰς τὸν οἶκον τοῦ Πανδαρέου, καὶ τὸ σῶμα ἐναλείψαντες μέλιτι κατέβαλον εἰς τὰ ποίμνια.* (8) *καὶ Πολύτεχνον μὲν αἱ μυῖαι προσίζουσαι ἐλυμαίνοντο, Ἀηδὼν δὲ οἰκτείρασα πρὸς τὴν παλαιὰν φιλίαν ἀπεῖργε[ν ἐκ] τοῦ Πολυτέχνου τὰς μυίας. ἐπεὶ δὲ αὐτὴν κατεφράσθησαν οἱ γονεῖς τε καὶ ὁ ἀδελφός, μισήσαντες ἐνεχείρησαν ἀποκτεῖναι.* (9) *Ζεὺς δὲ πρὸ τοῦ μεῖζον*

1 *κἄκ* P 2 *ἐξερ////* in ras. cognosci possunt litt. *ει* P 3 *οἰκία* ex *οἰκεῖα* effect. P, *οἰκεῖα* N. 7 *τον* P 10 ⟨*καὶ*⟩ Mu. 12 *πάσασθαι* E. Dittrich 13 *Πανδάρεων* P 14 *ἐχρήσαντο* Ma.: *ἐχρήσατο* P 15 *ἄχρι* Od. et Ma. (cf. Philol. N. S. I p. 760): *ἄχρις* P 17 *πανδαρεον* P 18 *ἐνελωβᾶιτο* P *πανδαρεον* P 20 *πολυτεχνον* P 21 *ἀπεῖργε[ν ἐκ]* Ma. (cf. praef. cap. II) 22 *αὐτὴν* Bast.: *αὐτη* P, *αὐτὸ* edd. usque ad Ko. 23 *κατεφωράθησαν* uel *κατεφωράσαντο* Mu. 24 *πρὸ τοῦ* Xyl.: *πρὸσ τὸ* P

κακὸν ἐμπεσεῖν τῷ οἴκῳ τοῦ Πανδαρέου οἰκτείρας ἐποίησε πάντας ὄρνιθας· καὶ οἱ μὲν αὐτῶν ἐξέπτησαν ἄχρι πρὸς τὴν θάλασσαν, οἱ δὲ εἰς τὸν ἀέρα. Πανδάρεος μὲν οὖν ἐγένετο fol. 195a | *ἁλιαίετος, ἡ δὲ μήτηρ τῆς Ἀηδόνος ἀλκυών, καὶ εὐθὺς ἐβούλοντο καταβαλεῖν ἑαυτοὺς εἰς τὴν θάλασσαν, ἀλλὰ Ζεὺς ἐκώλυσεν.* (10) *οὗτοι τοῖς πλέουσιν οἱ ὄρνιθες αἴσιοι φαίνονται. Πολύτεχνος δὲ μεταβαλὼν ἐγένετο πελεκάν, ὅτι Ἥφαιστος αὐτῷ πέλεκυν ἔδωκε τεκταίνοντι· καὶ ἔστιν ἀγαθὸς οὗτος ὁ ὄρνις φανεὶς τέκτονι. ὁ δὲ τῆς Ἀηδόνος ἀδελφὸς ἐγένετο ἔποψ αἴσιος καὶ πλέουσι καὶ ἐπὶ γῆς φανείς, σὺν ἁλιαιέτῳ δὲ ἢ ἀλκυόνι μᾶλλον.* (11) *Ἀηδὼν δὲ καὶ Χελιδονὶς ⟨τῷ αὐτῷ ὀνόματι λέγονται· καὶ⟩ ἡ μὲν παρὰ ποταμοὺς καὶ λόχμας τὸν παῖδα τὸν Ἴτυν θρηνεῖ, Χελιδονὶς δ' ἐγένετο σύνοικος ἀνθρώποις Ἀρτέμιδος βουλῇ, διότι κατ' ἀνάγκας ἐκλιποῦσα τὴν παρθενίαν πλεῖστα τὴν Ἄρτεμιν ἐπεβοήσατο.*

XII. Κύκνος.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων γ' καὶ Ἀρεὺς ὁ Λάκων ἐν ᾄσματι Κύκνῳ.]

Ἀπόλλωνος καὶ Θυρίης τῆς Ἀμφινόμου παῖς ἐγένετο Κύκνος. οὗτος ἦν εὐσχήμων τὴν ὄψιν, τὸ δὲ ἦθος ἄχαρις καὶ ἀγροῖκος ⟨καὶ⟩ πρὸς κυνηγέσια ἐκτόπως φιλότιμος. ᾤκει δ' ἐπὶ τῶν ἀγρῶν τὸ μέσον

1 *τοῦ Πανδαρέου* Ma.: *τὸν πανδάρεων* P, *τοῦ Πανδάρεω* Od. 3 *Πανδάρεως* P 8 in marg. P *ση* *πελεκάν* dedi cf. ind. II s. *ια'*: *πελεκᾶν* P, *πελεκάς* ind. I s. *ια'* 10 *οὗτος* ex *αὐτὸς* corr. in P 12 [*σὺν ἁλ. — μᾶλλον*] Od. 13 ⟨*τῷ αὐτῷ ὀνόματι λέγονται· καὶ*⟩ Mu. 15 *ἀνθρώποις* ⟨*ὄρνις*⟩ Berk. 19 cf. Schn. Nic. p. 90 sqq. 21 mater Cygni **Ouidio (met. VII 371)** Hyrie audit 23 *ἀγροῖκος* ⟨*καὶ*⟩ Ma. 24 [*τὸ*] *μέσον* Od., *τῶν μέσων* Ver.

Πλευρῶνος καὶ Καλυδῶνος· ἐγένοντο δ' αὐτοῦ καὶ ἐρασταὶ πλεῖστοι διὰ τὸ κάλλος. (2) *ὁ δὲ Κύκνος καθ' ὑπεροψίαν προσίετο αὐτῶν οὐθένα· τάχιστα δὲ διαμισηθεὶς ὑπὸ μὲν τῶν ἄλλων ἐραστῶν καταλείπεται, Φύλιος δὲ μόνος αὐτῷ συνέμενεν. ὁ δὲ καὶ τοῦτον οὐ μετρίως ἐξύβρισεν. ἐφάνη γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ μέγα τι χρῆμα λέοντος ἐν Αἰτωλοῖς, ὃς αὐτούς τε καὶ τὰ θρέμματα διελυμαίνετο.* (3) *τοῦτον οὖν τῷ Φυλίῳ προσέταξεν ὁ Κύκνος ἄνευ σιδήρου κτεῖναι κἀκεῖνος ὑπέσχετο καὶ ἀνεῖλε μηχανῇ τοιαύτῃ. εἰδὼς ἥντινα ὥραν ἔμελλεν ὁ λέων ἐπιφοιτήσειν ἐνέπλησε τὴν γαστέρα πολλῶν σιτίων καὶ οἴνου κἀπεὶ προσεπέλασεν ὁ θήρ, ἐξήμεσεν ὁ Φύλιος τὰ σιτία.* | [fol. 196r] (4) *καὶ ὁ λέων ὑπὸ λιμοῦ* ⟨*τῇ*⟩ *τροφῇ ταύτῃ χρησάμενος ἐκαρώθη ὑπὸ τοῦ οἴνου, ὁ δὲ Φύλιος περιβαλὼν τὸν βραχίονα τῇ ἐσθῆτι, ᾗ ἐφόρει, ἔφραξε τὸ στόμα τοῦ λέοντος· ἀνελὼν δὲ αὐτὸν καὶ ἀναθέμενος ἐπὶ τὸν ὦμον ἀπήνεγκε πρὸς τὸν Κύκνον καὶ διεβοήθη παρὰ πολλοῖς ἐπὶ τῷ κατορθώματι τούτῳ.* (5) *ὁ δὲ Κύκνος ἕτερον ἆθλον ἐπέταττεν* ⟨*ἔτι*⟩ *ἀτοπώτερον. ἐγένοντο γὰρ ἐν τῇ γῇ ταύτῃ γῦπες, ὑπερφυές τι καὶ μέγα χρῆμα, καὶ πολλοὺς ἀπεκτίννυον ἀνθρώπους· τούτους ἐκέλευε συλλαβεῖν ζῶντας καὶ ἀπενεγκεῖν ἔξω πάσης μηχανῆς.* (6) *ἀποροῦντι δὲ τῷ Φυλίῳ πρὸς τὸ ἐπίταγμα κατὰ θεὸν ἀετὸς ἡρπακὼς λαγωὸν ἡμιθνῆτα κατέβαλε πρὶν ἀπενεγκεῖν εἰς τὰ οἰκεῖα. ὁ δὲ Φύλιος ἀναρρήξας τὸν*

3 *οὐθένα* P, *οὐδένα* plerique edd. 4 *ὑπὸ* N.: *ἀπὸ* P 7 *μεγά τι* P 14 ⟨*τῇ*⟩ Od. *ἐκαρώθη* Xyl.: *ἐχαρακώθη* P, *ἀπεχαρακώθη* Salmasius ad Vopisc. p. 475 A. 20 ⟨*ἔτι*⟩ Ma. 22 *ἀπεκτίννυον* Xyl.: *ἀπεκτείννυον* P, *ἀπέκτεινον* N. 23 *ἔξω πάσης μηχανῆς* Ko.: *ἔξω πάσῃ μηχανῇ* P 25 *αἰετὸς* N. 26 *οἰκία* Bl.

λαγωὸν καὶ τοῦ αἵματος ἑαυτὸν ἀναπλήσας ἐπὶ τῆς γῆς ἔκειτο. οἱ μὲν οὖν ὄρνιθες ὡς ἐπὶ νεκρὸν ὥρμησαν, ὁ δὲ Φύλιος πιέσας τῶν σφυρῶν δύο καὶ κατασχὼν ἀπήνεγκε πρὸς τὸν Κύκνον. (7) ὁ δὲ αὐτῷ τρίτον ἔτι χαλεπώτερον ἆθλον ἐπέταττεν· ἐκέλευε γὰρ ἀπαγαγεῖν ταῦρον ἐκ τῆς ἀγέλης ταῖς χερσὶ λαβόντα μέχρι πρὸς τὸν βωμὸν τὸν τοῦ Διός. ὁ δὲ Φύλιος ἀμηχανῶν ὅτι χρήσεται πρὸς τὸ ἐπίταγμα ηὔξατο συλλαβέσθαι αὐτῷ τὸν Ἡρακλέα. καὶ πρὸς τὴν εὐχὴν ταύτην ἐφάνησαν δύο ταῦροι περὶ μίαν οἰστρήσαντες βοῦν καὶ τοῖς κέρασι τύπτοντες ἀλλήλους κατέβαλον εἰς τὴν γῆν. ὁ δὲ Φύλιος, ἐπειδὴ παρείθησαν, τὸν ἕτερον ταῦρον ἀναψάμενος ἐκ τοῦ σκέλους ἀπήγαγεν ἄχρι πρὸς τὸν βωμόν, βουλήσει δὲ τοῦ Ἡρακλέους ⟨ἔγνω τὸ λοιπὸν⟩ ἀμελῆσαι τῶν ἐπιταγμάτων τοῦ παιδός. (8) τῷ δὲ Κύκνῳ παρέστη δεινὸν ἀτιμασθέντι fol. 196s παρὰ τὴν δόξαν, | ἀθυμήσας δὲ κατέβαλεν ἑαυτὸν εἰς τὴν Κωνώπην λεγομένην λίμνην καὶ ἠφανίσθη· πρὸς δὲ τὸν θάνατον αὐτοῦ καὶ Θυρίη ἡ μήτηρ κατέβαλεν ἑαυτὴν εἰς τὴν αὐτὴν ἐκείνῳ λίμνην καὶ ἐγένοντο βουλῇ Ἀπόλλωνος ὄρνιθες ⟨κύκνοι⟩ ἀμφότεροι ἐν ⟨τῇ⟩ λίμνῃ. (9) ἀφανισθέντων δὲ καὶ ἡ λίμνη ⟨Θυρίη⟩ μετωνομάσθη καὶ ἐγένετο κυκνείη καὶ πολλοὶ ἐν τῇ

1 *ἀναπλάσας* uel *ἀναπάσας* Berk., *καταπλάσας* Mu. (sed cf. cum nostro loco Plut. *περὶ φιλοπλ.* c. 5 p. 635, 20 Dü.) 4 *ἀπήνεγκεν* P 14 *βουλῇ* Fonteinius 15 ⟨*ἔγνω τὸ λοιπὸν*⟩ *ἀμελῆσαι* (cf. cap. XX § 5) Ma., *ἀμελῆσαι* ⟨*ἠνέσχετο*⟩ Mu., ⟨*συνέβαινεν*⟩ *ἀ.* Hemsterhusius, *ἠμέλησε* Fonteinius, *ἀμελήσας* Berk., *ἀμέλησε* (forma ionica) Bast., *ἀμελήσας* uel *ἠμέλησε τῶν* ⟨*ἄλλων*⟩ *ἐπ.* Od. 16 *ἀτιμασθέντι* coll. cap. XXI § 2 N.: *ἀτιμωθέντι* P, *ἀτιμηθέντι* Gal. 18 *Κωνωπίην* vel *Κωνωπείην* uel *κυκνείην* Ver. 19 *Οὐρίη* K. O. Mueller in Mus. Rhen. 1824 p. 28 not. 59 21 ⟨*κύκνοι*⟩ et ⟨*τῇ*⟩ Od. 22 [*καὶ*] Od. ⟨*Θυρίη*⟩ Od.

ὥρᾳ τοῦ ἀρότου ἐνταῦθα φαίνονται κύκνοι. πλησίον δὲ κεῖται καὶ τὸ τοῦ Φυλίου σῆμα.

XIII. Ἀσπαλίς.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β′.]

Διὸς καὶ νύμφης Ὀθρηΐδος ἐγένετο παῖς Μελιτεύς. τοῦτον ἡ μήτηρ ἐξέθηκεν εἰς τὴν ὕλην κατὰ δέος Ἥρας, ὅτι αὐτῇ Ζεὺς ἐμίχθη. ὁ δὲ παῖς Διὸς βουλῇ οὐκ ἠφανίσθη ἀλλ' ηὔξετο τρεφόμενος ὑπὸ μελισσῶν. ἐνέτυχε δὲ αὐτῷ ποιμαίνων πρόβατα Φάγρος ὁ Ἀπόλλωνος καὶ Ὀθρηΐδος νύμφης, ἥτις ἔτεκε ⟨καὶ⟩ Μελιτέα τὸν ἐν τῇ ὕλῃ παῖδα. (2) *θαυμάσας δὲ πρὸς τὸν ὄγκον τοῦ σώματος καὶ ἔτι πλέον πρὸς τὰς μελίσσας ἀνείλετο καὶ ἀπήνεγκεν εἰς τὰ οἰκία καὶ ἔτρεφεν ἐν πολλῇ σπουδῇ θέμενος αὐτῷ Μελιτέα ὄνομα, διότι ὑπὸ μελισσῶν ἐτράφη· ὑπῆλθεν αὐτὸν καὶ ὁ χρησμός, ἐν ᾧ ποτε θεὸς εἶπε σῴζειν ὁμόγνιον ὄντα τὸν ὑπὸ τῶν μελισσῶν τρεφόμενον.* (3) *ὁ δὲ παῖς ἐπεὶ τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο γενναῖος καὶ πλείστων ἦρξε περιοίκων καὶ πόλιν ἔκτισεν ἐν τῇ Φθίᾳ προσαγορεύσας Μελίτην. ἐν ταύτῃ τῇ Μελίτῃ τύραννος ἐγένετο βίαιος καὶ ὑβριστής, ὃν οἱ μὲν ἐπιχώριοι οὐδ' ὀνομάζουσιν, ὑπὸ δὲ τῶν ξένων Τάρταρος ἐκαλεῖτο. οὗτος εἴ τις διαβοηθείη παρθένος ἐπὶ κάλλει τῶν ἐγχωρίων, ἀπῆγεν αὐτὴν καὶ ἐμίγνυτο πρὸ γάμου κατὰ βίαν.* (4) *ποτὲ δ' οὖν εἴρητο πρὸς | τοὺς θέραπας ἀπάγειν* fol. 196r

1 *ἀρότου* Schn.: *ἀροτοῦ* sed ita, ut supra prius *ο* adhuc accentus conspici possit P 4 cf. Schn. Nic. p. 52 proxx. 10 ⟨*καὶ*⟩ Ma. 11 *τὸ κομψὸν* E. Dittrich 12 *πλεον* (sub *ο* punctum) P 13 *οἰκεῖα* N. [*ἐν*] West., *σὺν* pro *ἐν* N. 16 *σώζειν* P *ὁμόγνι — ον ι* et linea in ras. P [*ὄντα*] N. 20 in marg. P *ση* 21 *οὐκ*? Ma. 24 [*πρὸ γάμου*] N. 25 *ποτὲ* Od.: *τότε* P

Ἀσπαλίδα τὴν θυγατέρα τὴν Ἀργαίου τῶν οὐκ ἀσήμων. ἡ δὲ παῖς, ὡς ἔκπυστος ὁ λόγος ἐγένετο, πρὶν ἀφικέσθαι τοὺς ἀπάξοντας ἀνήρτησεν ἑαυτήν. τῆς δὲ πράξεως οὔπω διαβοηθείσης ἀδελφὸς ὁ τῆς Ἀσπαλίδος Ἀστυγίτης ὤμοσεν, ὅτι πρότερον τίσεται τὸν τύραννον ἢ τὸ σῶμα καθαιρήσει τὸ τῆς ἀδελφῆς. (5) *ἐνδὺς δὲ τάχιστα τὴν στολὴν τῆς Ἀσπαλίδος καὶ κρύψας παρὰ τὴν εὐώνυμον πλευρὰν τὸ ξίφος ἔλαθε πρὸς τὴν ὄψιν ἀντίπαις ὤν· παρελθὼν δ' εἰς τὰ οἰκία γυμνὸν ὄντα καὶ ἀφύλακτον τὸν τύραννον κτείνει.* (6) *οἱ δὲ Μελιτεῖς τὸν μὲν Ἀστυγίτην ἐστεφάνουν καὶ μετὰ παιάνων προέπεμπον, τὸ δὲ σῶμα τοῦ τυράννου κατεπόντωσαν εἰς ποταμὸν ἐμβαλόντες, ὃν ἔτι νῦν ἐξ ἐκείνου τοῦ χρόνου Τάρταρον καλοῦσι· τὸ δὲ σῶμα τὸ τῆς Ἀσπαλίδος ἐξερευνῶντες πάντα τρόπον, ὅπως κηδεύσωσιν ἐπισήμως, οὐκ ἠδυνήθησαν εὑρεῖν· ἀλλὰ τοῦτο μὲν ἠφανίσθη κατὰ θεόν, ἀντὶ δὲ τοῦ σώματος ἐφάνη ξόανον παρὰ τὸ τῆς Ἀρτέμιδος ἑστηκός.* (7) *ὀνομάζεται δὲ παρὰ τοῖς ἐγχωρίοις τοῦτο τὸ ξόανον Ἀσπαλὶς Ἀμειλήτη Ἑκαέργη, ᾧ καθ' ἕκαστον ἔτος αἱ παρθένοι χίμαρον ἄθορον ἐκρίμνων, ὅτι καὶ ἡ Ἀσπαλὶς παρθένος οὖσα ἑαυτὴν ἀπηγχόνισεν.*

9 *οἰκεῖα* N. 13 in marg. P *ση* [*τοῦ χρόνου*] N. 15 *κηδεύσουσιν* Jacobs. 16 *ἐδυνήθησαν* Od. 19 *ἀσπαλὶς ἀμειλήτη· ἑκαέργη· ᾧ* P librarium uoc. *ἑκαέργη* deleri uoluisse coni. Od. p. 15 not. 1: *ἀμείλικτος* Jacobi lex myth. p. 148. *ἀμείδητος* N. et Od. p. 15 not. 2, *Ἀσπαλὶς ἐν Μελίτῃ Ἑκαέργη* Schn. cet. ad explic. cognomentum Aspalidis recte Od. excitat **Hesychii** glossam *μειλεῖν· ἀρέσκειν* 21 *ἄφθορον* Abreschius *ἐκρίμνων* N.: *ἐκρήμνων* P: uerum *η* postea add. est; fuit olim *ἐκρίμνων* *ἄσπαλις* P

XIV. Μούνιχος.

[Οὐ.]

Μούνιχος ὁ Δρύαντος ἐβασίλευσε Μολοσσῶν καὶ ἐγένετο μάντις ἀγαθὸς καὶ ἀνὴρ δίκαιος. ἔσχε δὲ παῖδας ἐκ Δηλάντης Ἄλκανδρον, ἀμείνονα μάντιν ἑαυτοῦ, καὶ Μεγαλήτορα καὶ Φιλαῖον καὶ θυγατέρα Ὑπερίππην. (2) *τούτους γενομένους πάντας ἀγαθοὺς καὶ δικαίους ἐφίλησαν οἱ θεοί. ἐπεὶ δὲ αὐτοὺς ἐπὶ τῶν ἀγρῶν νυκτὸς ἐπελθόντες λῃσταὶ συνελάμβανον* |, fol. 197a *οἱ δὲ ἐκ τῶν πύργων ἔβαλλον — οὐ γὰρ ἦσαν αὐτοῖς ἰσόμαχοι — πῦρ ἐνέβαλλον οἱ κλῶπες εἰς τὰ οἰκία. Ζεὺς δ' οὐ περιεῖδεν αὐτοὺς ὁσιότητος ἕνεκα τελευτήσαντας οἰκτίστῳ θανάτῳ, μετέβαλε δὲ πάντας εἰς ὄρνιθας.* (3) *καὶ Ὑπερίππη μὲν ἐπεὶ φυγοῦσα τὸ πῦρ εἰς ὕδωρ κατέδυ γέγονεν αἴθυια· Μεγαλήτωρ δὲ καὶ Φιλαῖος, ὅτι τὸ πῦρ φεύγοντες διὰ τοῦ τοίχου παρὰ τὴν γῆν ἔδυσαν, ἐγένοντο μικροὶ δύο ὄρνιθες· καὶ ἔστιν ὁ μὲν αὐτῶν ἰχνεύμων, Φιλαῖος δ' ὀνομάζεται κύων.* (4) *οἱ δ' ἄλλοι ἐκ τοῦ πυρὸς ἀνέπτησαν, Μούνιχος μὲν τριόρχης γενόμενος, Ἄλκανδρος δὲ ὀρχίλος. ἡ δὲ μήτηρ αὐτῶν ἐγένετο κνιπολόγος πιπώ.*

1 *Μούνυχος* passim restit. cens. Bast. ad Greg. Cor. p. 292 Sch., sed cf. praef. cap. II: *Μούνιχος* P et index II s. *ιδ'* 2 in marg. P signum exstat $\overset{\Upsilon}{o}$ = *οὐ* de quo cf. Hercher. in Herm. uol. XII p. 307. fabulam ad Boeum reuocat Knaack, 'anal. alex.-rom.' p. 10   8 *δικαί*$\overset{\Upsilon}{ο}$ P   10 uerba *ἐκ τῶν πύργων ἔβαλλον* uix sana: forsitan scrib. sit *εἰς τοὺς πύργους ἔφυγον* Ma.   12 *οἰκεῖα* N.   *περιεῖδεν* Od.: *περιΐδεν* P   13 *τελευτήσοντας* Ver.   15 *Μεγαλήτωρ δὲ* — 19 *κύων. οἱ δ' ἄλλοι* — 20 *ὀρχίλος·* Od., *οἱ δ' ἄλλοι — ὀρχίλος. Μεγ. δὲ — κύων* P   16 *φιλαιος* P acc. supra prius *ι* erasus cognoscitur   20 *τρίορχις* N   21 *κνιπολόγος. πιπώ· πρὸς κτλ.* P [*πιπώ· — κνῖπας*] Od.

πρὸς ταύτην ἀετῷ πόλεμός ἐστι καὶ ἐρῳδιῷ· κατάγνυσι γὰρ αὐτῶν τὰ ᾠὰ κόπτουσα τὴν δρῦν διὰ τοὺς κνῖπας. καὶ εἰσὶν οἱ μὲν ἄλλοι σύννομοι ἐν ὕλῃ καὶ παρὰ κευθμῶνας, αἴθυια δὲ ἐγένετο πρὸς λίμνας τε καὶ θαλάσσην.

XV. Μεροπίς.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίας α′.]

Εὐμήλου τοῦ Μέροπος ἐγένοντο παῖδες ὑπερήφανοι καὶ ὑβρισταὶ Βύσσα καὶ Μεροπὶς καὶ Ἄγρων. καὶ ᾤκουν Κῶν τὴν Μεροπίδα νῆσον, ἡ δὲ γῆ πλεῖστον αὐτοῖς ἐξέφερε καρπόν, ὅτι μόνην θεῶν ἐτίμων καὶ ἐπιμελῶς αὐτὴν ἠργάζοντο. (2) *οὗτοι ἀνθρώπων οὐδενὶ συνῆλθον οὔτε εἰς ἄστυ κατιόντες οὔτε πρὸς εἰλαπίνας καὶ θεῶν ἑορτάς, ἀλλ' εἰ μὲν Ἀθηνᾷ τις ἱερὰ ποιῶν καλέσειε τὰς κόρας, ἀπέλεγεν ὁ ἀδελφὸς τὴν κλῆσιν· οὐ γὰρ ἀγαπᾶν ἔφη γλαυκὴν θεόν, ὅτι † ταῖς αὐταῖς κόραις ὀφθαλμὸς ἐνῆν μέλας, ἐχθαίρειν δὲ παράπαν γλαῦκα τὴν ὄρνιν· εἰ δὲ καλοῖεν παρὰ τὴν Ἄρτεμιν, νυκτίφοιτον ἔλεγε μισεῖν θεόν· εἰ δὲ*

2 *τὰ ὠιά· κόπτουσα τὸν* (o in ras.) *δρῦν* P   *κνίπας* P   4 [*ἐγένετο*] N.   *λίμναις* Berk. (sed cf. Od. p. 17)   *τὲ* P   5 *θαλάσσην* Ma.: *θαλάσσηι* P, *θάλασσαν* Od.   10 [*Κῶν*] Od., *κὼν* P, sed cf. **Call. hym. del. u. 160 p. 39 Schn.**   *τὴν Μεροπίδων ν.* uel *τὴν Μεροπίδα λεγομένην ν.* Berk., *τὴν Μερόπων ν.* Mu., uerum cf. Thuc. VIII 41 et Strabon. XV p. 686   11 *οτι* P   *ὅτι* ⟨*τὴν Δήμητρα*⟩ *μ.* Berk.   12 *ἠργάζοντο* P quod ret. cens. N.: *εἰργάζοντο* Mu.   15 *καλέσειε* N.: *ἐκάλεσεν* P   16 [*ὅτι* — 18 *ὄρνιν*] Od.   17 *ταῖς αὐταῖς κόραις*, quod P exh., ut non ab interp. quod. prof. uid., ita misere corr. est, *ταῖς αὐτῆς χώρας κόραις* Berk., *ταῖς αὐτοῦ χώρας κόρ.* Gal., *τὰς κόρας, ὅτι αὐταῖς* Mu., *ὅτι αὐτῆς* (h. e. *Ἀθηνᾶς*) *κόραις οὐκ ἐνῆν μέλαν* Toussaintius, *ταῖς* [*αὐταῖς*] *κόραις* Jacobs. in anim. in Eurip. p. 50   18 *καλοῖεν* Bast.: *καλῶιεν* P, *καλῷεν* uel *καλῴη* Gal.   19 *ἔλεγεν* P

πρὸς Ἑρμοῦ σπονδάς, κλέπτην ἔλεγεν οὐ τιμᾶν θεόν. (3) *Καὶ οἱ μὲν πλειστάκις ἐκερτόμουν. Ἑρμῆς δὲ καὶ | Ἀθηνᾶ καὶ Ἄρτεμις χολούμενοι νυκτὸς ἐπέστησαν* fol. 197r *αὐτῶν τοῖς οἴκοις, Ἀθηνᾶ μὲν καὶ Ἄρτεμις ἐοικυῖαι κόραις, Ἑρμῆς δὲ ποιμένος ἔχων στολήν· καὶ τὸν Εὔμηλον καὶ τὸν Ἄγρωνα προσαγορεύσας παρεκάλει παρατυχεῖν εἰς δαῖτα· διδόναι γὰρ ἱερὰ μετὰ τῶν ἄλλων ποιμένων Ἑρμῇ· Βύσσαν δὲ καὶ Μεροπίδα πρὸς τὰς ὁμήλικας ἔπειθεν ἐκπέμπειν εἰς τὸ τῆς Ἀθηνᾶς καὶ Ἀρτέμιδος ἄλσος.* (4) *καὶ ταῦτα μὲν εἶπεν Ἑρμῆς· Μεροπὶς δ' ὡς ἤκουσεν, ἐξύβρισε πρὸς τὸ ὄνομα τῆς Ἀθηνᾶς, ἡ δὲ αὐτὴν ἐποίησεν ὀρνίθιον γλαῦκα· Βύσσα δὲ τῷ αὐτῷ ὀνόματι λέγεται καὶ ἔστι Λευκοθέας ὄρνις· Ἄγρων δ' ὡς ἐπύθετο, ἁρπάσας ὀβελὸν ἐξέδραμεν, Ἑρμῆς δ' αὐτὸν ἐποίησε χαραδριόν· Εὔμηλος δὲ τὸν Ἑρμῆν ἐνείκεσεν ὅτι μετεμόρφωσεν αὐτοῦ τὸν υἱόν, ὁ δὲ κἀκεῖνον ⟨μετέβαλε καὶ⟩ ἐποίησε νυκτικόρακα κακάγγελον.*

XVI. Οἰνόη.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β´.]

Παρὰ τοῖς λεγομένοις ἀνδράσι Πυγμαίοις ἐγένετο παῖς ὄνομα Οἰνόη τὸ μὲν εἶδος οὐ μεμπτή, ἄχαρις δὲ τὸ ἦθος καὶ ὑπερήφανος. ταύτῃ φροντὶς οὐδεμία ἐγίνετο τῆς Ἀρτέμιδος οὐδὲ Ἥρας. (2) *γαμηθεῖσα δὲ Νικοδάμαντι τῶν πολιτῶν ἑνὶ* [*μετρίῳ καὶ ἐπιεικεῖ ἔτεκε παῖδα Μόψον. καὶ αὐτῇ Πυγμαῖοι πάντες κατὰ*

4 *οἰκίοις* uel *οἰκείοις* Ver. 6 [*παρατυχεῖν*] N. 11 *ἐξύβρισε//πρὸσ* P *πρὸς τὰ ὄμματα* Jacobs. in exerc. in scr. uet. II p. 102 17 *ἐκεῖνον* Od. ⟨*μετέβαλε καὶ*⟩ Ma. *ἐποίησεν* P 19 de fab. cf. Knaackii Anal. Alex.-Rom. (1880) p. 5 et Wochenschr. f. klass. Phil. 1890 p. 39

φιλοσοφροσύνην πλεῖστα δῶρα πρὸς τὴν γένεσιν τοῦ παιδὸς ἀπήνεγκαν. Ἥρα δὲ μεμφθεῖσα τὴν Οἰνόην, ὅτι αὐτὴν οὐκ ἐτίμα, γέρανον [αὐτὴν] ἐποίησε καὶ τὸν αὐχένα μακρὸν εἵλκυσε καὶ ἀπέδειξεν ὑψιπετῆ ὄρνιθα καὶ πόλεμον ἐνέβαλεν αὐτῇ τε καὶ τοῖς Πυγμαίοις. (3) *Οἰνόη δὲ διὰ τὸν πόθον τοῦ παιδὸς Μόψου περιεπέτετο τὰ οἰκία καὶ οὐκ ἐξελίμπανε, Πυγμαῖοι δὲ καθοπλισάμενοι πάντες ἐδίωκον αὐτήν. καὶ ἐκ τούτου* fol. 198s *ἔτι καὶ νῦν Πυγμαίοις καὶ γεράνοις | πόλεμος ἐνέστηκεν.*

XVII. Λεύκιππος.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β′.]

Γαλάτεια ἡ Εὐρυτίου τοῦ Σπάρτωνος ἐγήματο ἐν Φαίστῳ τῆς Κρήτης Λάμπρῳ τῷ Πανδίονος, ἀνδρὶ τὰ μὲν εἰς γένος εὖ ἔχοντι, βίου δὲ ἐνδεεῖ. (2) *οὗτος, ἐπειδὴ ἐγκύμων ἦν ἡ Γαλάτεια, ηὔξατο μὲν ἄρρενα γενέσθαι αὐτῷ παῖδα, προηγόρευσε δὲ τῇ γυναικί, ἐὰν γεννήσῃ κόρην ἀφανίσαι. καὶ οὗτος μὲν ἀπιὼν ἐποίμαινε τὰ πρόβατα, τῇ δὲ Γαλατείᾳ θυγάτηρ ἐγένετο.* (3) *καὶ κατοικτείρασα τὸ βρέφος καὶ τὴν ἐρημίαν τοῦ οἴκου λογισαμένη, συλλαμβανόντων δ' ἔτι καὶ τῶν ὀνείρων καὶ τῶν μάντεων, οἳ προηγόρευον τὴν κόρην ὡς κόρον ἐκτρέφειν, ἐψεύσατο τὸν Λάμπρον ἄρρεν λέγουσα τεκεῖν καὶ ἐξέτρεφεν ὡς παῖδα κοῦρον ὀνομάσασα Λεύκιππον.* (4) *ἐπεὶ δὲ ηὔξετο ἡ κόρη καὶ ἐγένετο ἄφατόν τι κάλλος, δείσασα τὸν Λάμπρον ἡ Γαλάτεια, ὡς οὐκ ἐνῆν ἔτι λαθεῖν, κατέφυγεν εἰς τὸ τῆς*

3 [*αὐτὴν*] del. Knaack. l. l. *ἐποίησεν* P 5 ad marg. P adpos. sunt (litt. mai. ex.): *ση αἰτία δι' ἣν γέρανοι* (uel *γέρανος*) *τοῖς πυγμαίοις πολέμιαι·* *τὲ* P 7 *οἰκεῖα* N. 9 *ἐνέστηκε* P: *συνέστηκεν* N. 11 cf. Schn. Nic. p. 54 sqq. 17 *ἐποίμαινεν* P 21 *ὀνειροκριτῶν* Fonteinius, *τῶν μάντεων ὀνειροκριτῶν* Jacobs. 22 *κοῦρον* N. 23 *κόρον* Mu.

Λητοῦς ἱερὸν καὶ πλεῖστα τὴν θεὸν ἱκέτευσεν, εἴ πως αὐτῇ κόρος ἢ παῖς ἀντὶ τῆς θυγατρὸς δύναιτο γενέσθαι, [καθάπερ ὅτε Καινὶς μὲν Ἄτρακος οὖσα θυγάτηρ βουλῇ Ποσειδῶνος ἐγένετο Καινεὺς ὁ Λαπίθης· (5) Τειρεσίας δὲ γυνὴ μὲν ἐξ ἀνδρός, ὅτι τοὺς ἐν τῇ τριόδῳ μιγνυμένους ὄφεις ἐντυχὼν ἀπέκτεινεν, ἐκ δὲ γυναικὸς αὖτις ἀνὴρ ἐγένετο † διὰ τὸ δράκοντα πολλάκις πάνακτα δὲ καὶ Ὑπερμήστραν πιπρασκομένην ἐπὶ γυναικὶ μὲν ἄρασθαι τῖμον, ἄνδρα δὲ γενομένην Αἴθωνι τροφὴν ἀποφέρειν τῷ πατρί· μεταβαλεῖν δὲ καὶ τὸν Κρῆτα Σιπροίτην, ὅτι κυνηγετῶν λουομένην εἶδε τὴν Ἄρτεμιν]. (6) ἡ δὲ Λητὼ συνεχῶς ὀδυρομένην καὶ ἱκετεύουσαν ᾤκτειρε τὴν Γαλάτειαν καὶ μετέβαλε τὴν φύσιν τῆς παιδὸς εἰς κόρον. ταύτης ἔτι μέ | fol. 198r μνηνται τῆς μεταβολῆς Φαίστιοι καὶ θύουσι Φυτίῃ Λητοῖ, ἥτις ἔφυσε μήδεα τῇ κόρῃ, καὶ τὴν ἑορτὴν Ἐκδύσια καλοῦσιν, ἐπεὶ τὸν πέπλον ἡ παῖς ἐξέδυ. νόμιμον δ'

2 [*ἀντὶ τῆς θυγατρὸς*] Hercher. in Hermae uol. XII p. 318 3 [*καθάπερ ὅτε* — (14) *εἶδε τὴν Ἄρτεμιν*] Hercher. l. l. *Κ. μὲν Ἐλάτου Ἄτρακος* Heinsius; *Κ. μὲν Ἐλάτου τοῦ Ἀρκάδος* Ver. 7 *διὰ τὸ δράκοντα πολλάκις πάνακτα δὲ* P adpicta ad marg. lineola. certam horum uerb. misere depr. medicinam nondum contigit inuenire: tentauere *διὰ τὸ τοὺς αὐτοὺς δράκοντας πάλιν πατάξαι καὶ Ὑπ.* Mu.; *διὰ τὸ δράκοντας βακτηρίᾳ πατάξαι καὶ Ὑπ.* Ver.; *διὰ τὸ δράκοντα ποδὶ λακτίσαι* uel *πάλιν τῇ ῥάβδῳ αὐτοὺς πατάξας* Jacobs.; *διὰ τὸν δράκοντα πολλάκις παταχθέντα* Bast.; *διὰ τὸ τοὺς δράκοντας πάλιν αἰκίσαι* Unger. in Theb. parad. I p. 417; *διὰ τὸ δράκοντας πολλὰ λακτίσαντα κτανεῖν* Schn. p. 54; *διὰ τὸ δράκοντα πολλάκις πατάξαι* Xyl. adm. prob. C. Wachsmuth. cl. **Tzetz. ad Lycophr. u. 683** tot. locum sic restit: *τοῖς — μιγνυμένοις ὄφεσιν ἐντυχὼν ⟨δράκαιναν⟩ ἀπ. — διὰ τὸ δράκοντα πάλιν αὖτις πατάξαι· εἶτα δὲ κ. τ. ἑ.* 8 *ὑπερμήστρα* P consimile de Mestra narrat **Ouid. Met. VIII 872 sq.**, cf. **Palaeph. p. 287, 7 W.** et **Tzetzes ad Lycophr. u. 1393** 9 *ἄρασθαι* (Ko.) *τῖμον* (Schn.): *αἰρασθαι τιμον* P 11 *εἶδε* Od.: *ἴδεν* P 15 pro *Φυτίῃ* coni. *Φυσιμήδῃ* Valckenaerius 16 *ὅτι?* Ma. *μέζεα* N.

ἐστὶν ἐν τοῖς γάμοις πρότερον παρακλίνασθαι παρὰ τὸ ἄγαλμα τοῦ Λευκίππου.

XVIII. Ἥροπος.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β΄.]

Εὔμηλος ὁ παῖς ὁ Εὐγνώτου κατῴκησεν ἐν Θήβαις ταῖς Βοιωτίαις καὶ αὐτῷ παῖς ἐγένετο Βότρης ὄνομα. οὗτος ὁ Εὔμηλος ἐτίμα μεγαλομερῶς τὸν Ἀπόλλωνα. (2) *καί ποτε θύοντος αὐτοῦ παρὼν ὁ παῖς Βότρης ἐδαίσατο τὸν ἐγκέφαλον τοῦ ἀρνὸς πρὶν ἐπὶ τὸν βωμὸν καταθῦσαι· μαθὼν δὲ τὸ γεγονὸς Εὔμηλος προσέκρουσε κατ' ὀργὴν πρὸς τὴν κεφαλὴν αὐτοῦ τὸν δαλὸν ἀφελὼν ἐκ τοῦ βωμοῦ· καὶ ὁ παῖς καταρρυέντος τοῦ αἵματος καταπεσὼν ἤσπαιρεν.* (3) *ἡ δὲ μήτηρ ὡς εἶδε καὶ ὁ πατὴρ καὶ οἱ θέραπες, μέγιστον ἐποιήσαντο πένθος· Ἀπόλλων δὲ οἰκτείρας, ἐπεὶ αὐτὸν Εὔμηλος ἐτίμα, ὄρνιθα ἐποίησε τὸν παῖδα ἡέροπον, ὃς ἔτι νῦν τίκτει μὲν ὑπὸ γῆς, ἀεὶ δὲ μελετᾷ πέτεσθαι.*

XIX. Φῶρες.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β΄.]

Ἐν Κρήτῃ λέγεται εἶναι ἱερὸν ἄντρον μελισσῶν, ἐν ᾧ μυθολογοῦσι τεκεῖν Ῥέαν τὸν Δία καὶ ⟨οὐκ⟩ ἔστιν ὅσιον οὐδένα παρελθεῖν οὔτε θεὸν οὔτε θνητόν. ἐν δὲ χρόνῳ ἀφωρισμένῳ ὁρᾶται καθ' ἕκαστον ἔτος πλεῖστον ἐκλάμπον ἐκ τοῦ σπηλαίου πῦρ. (2) *τοῦτο*

5 *Εὔ. ὁ* [*παῖς ὁ*] *Εὐγν.* uel *Εὔ. ὁ παῖς* [*ὁ*] *Εὐγν.* N., sed cf. fab. XXIV § 2 6 *τῆς Βοιωτίας* Ver.; *ταῖς Βοιωτίαις* Teucher. 10 *προέκρουσε* — (11) *πρὸσ//τὴν* P 14 *εἶδε* Od.: *ἴδεν* P 16 *ἐποίησεν* P 17 an *ἐπὶ γῆς* exarandum? Ma. 21 ⟨*οὐκ*⟩ Mu., cf. § 3 et cap. XXXII § 5

δὲ γίνεσθαι μυθολογοῦσιν, ὅταν ἐκζέῃ τὸ τοῦ Διὸς ἐκ τῆς γενέσεως αἷμα. κατέχουσι δὲ τὸ ἄντρον ἱεραὶ μέλιτται, ⟨αἱ⟩ τροφοὶ τοῦ Διός. εἰς τοῦτο παρελθεῖν ἐθάρρησαν Λάιος καὶ Κελεὸς καὶ Κέρβερος καὶ Αἰγωλιός, ὅπως πλεῖστον ἀρύσωνται μέλι· καὶ περιθέμενοι περὶ τὸ σῶμα πάντῃ χαλκὸν ἠρύσαντο τοῦ μέλιτος τῶν μελισσῶν καὶ τὰ τοῦ Διὸς εἶδον σπάργανα καὶ αὐτῶν ὁ χαλκὸς ἐρράγη | περὶ τὸ σῶμα. (3) *Ζεὺς δὲ* fol. 199a *βροντήσας ἀνέτεινε τὸν κεραυνόν, Μοῖραι δὲ καὶ Θέμις ἐκώλυσαν· οὐ γὰρ ἦν ὅσιον αὐτόθι θανεῖν οὐδένα· καὶ ὁ Ζεὺς πάντας αὐτοὺς ἐποίησεν ὄρνιθας· καὶ ἔστιν ἐξ αὐτῶν τὸ γένος τῶν οἰωνῶν, λάιοι καὶ κελεοὶ καὶ κέρβεροι καὶ αἰγωλιοί· καὶ εἰσὶν ἀγαθοὶ φανέντες καὶ ἐπιτελεῖς παρὰ τοὺς ἄλλους ὄρνιθας, ὅτι τοῦ Διὸς εἶδον τὸ αἷμα.*

XX. Κλεῖνις.

[Ἱστορεῖ Βοῖος ⟨ὀρνιθογονίας⟩ β′ καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλωνι.]

Τῆς λεγομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πόλιν ᾤκησεν ἀνὴρ θεοφιλὴς καὶ πλούσιος ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους καὶ πρόβατα. τοῦτον ἐκτόπως ἐφίλησαν Ἀπόλλων καὶ Ἄρτεμις καὶ πλειστάκις ὁμοῦ τοῖς θεοῖς τούτοις ἀφίκετο πρὸς τὸν ναὸν τοῦ

2 *ἱεραὶ μέλιτται ⟨αἱ⟩ τρ. τ. Δ.* Ma.: *⟨αἱ⟩ ἱεραὶ μέλισσαι ⟨αἱ⟩ τρ. τ. Δ.* Od. 4 *Κολοιὸς* Meurs. Cret. p. 75, *Κολιὸς* Mu. 6 *ἠρύσαντο* Od.: *ἀρύσαντο* P 7 *εἶδον* Od.: *ἴδον* P 12 *κελεοὶ* Od., cf. ind. I et II sub *ιθ′*: *κολοιοὶ* P, *κολιοὶ* Mu. 15 *εἶδον* Od.: *ἴδον* P 16 *Κλεινὶς* praebet ind. II sub *κ′* 17 ⟨*ὀρνιθογονίας*⟩ Ma. rectius poetae nomen scribitur *Σιμίας* cf. Haeberlinum, 'de carm. fig. Graec.' [1]1886 p. 45 proxx. 19 *παρὰ* Bast. 22 *ἐφίλησαν* Ma.: *ἐφίλησεν* P 23 *τὸν Ἀπ.* Mu. et Od.

Ἀπόλλωνος τοῦ ἐν Ὑπερβορέοις καὶ εἶδεν ἱερουργουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων. (2) *παραγενόμενος δὲ εἰς Βαβυλῶνα καὶ αὐτὸς ἐβούλετό ⟨ποτε⟩ καθάπερ ἐν Ὑπερβορέοις ἱερεύειν τῷ θεῷ καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησε παρὰ τὸν βωμόν· Ἀπόλλων δὲ παραγενόμενος ἠπείλησεν ἀποκτενεῖν αὐτόν, εἰ μὴ παύσαιτο τῆς θυσίας ταύτης καὶ κατὰ τὸ σύνηθες αἶγας αὐτῷ καὶ πρόβατα καὶ βοῦς ἱερεύσειεν·* (3) *τὴν γὰρ τῶν ὄνων θυσίαν ἐν Ὑπερβορέοις ⟨μόνοις⟩ ἀγομένην αὐτῷ καθ' ἡδονὴν εἶναι. καὶ ὁ Κλεῖνις δείσας τὴν ἀπειλὴν ἀπῆγεν ἀπὸ τοῦ βωμοῦ τοὺς ὄνους καὶ τὸν λόγον, ὃν ἤκουσεν, ἐξέφερε πρὸς τοὺς παῖδας. ἦσαν δὲ αὐτῷ παῖδες Λύκιος καὶ Ὀρτύγιος καὶ Ἅρπασος καὶ θυγάτηρ Ἀρτεμίχη [παῖδες] ἐκ μητρὸς Ἅρπης.* (4) *Λύκιος μὲν οὖν καὶ Ἅρπασος ἀκούσαντες ἐκέλευον ἱερεύειν τοὺς ὄνους καὶ τέρπεσθαι τῇ ἑορτῇ, Ὀρτύγιος δὲ καὶ Ἀρτε-*
fol. 199r *μίχη πείθεσθαι τῷ Ἀπόλλωνι προσέ | τασσον καὶ δὴ τούτοις ὁ Κλεῖνις ἐπείθετο μᾶλλον. Ἅρπασος δὲ καὶ Λύκιος κατὰ βίαν ἐκλύσαντες τῶν δεσμῶν τοὺς ὄνους ἀπήλαυνον παρὰ τὸν βωμόν.* (5) *καὶ ὁ θεὸς ἐνέβαλε τοῖς ὄνοις λύσσαν· οἱ δὲ τούς τε παῖδας καὶ τοὺς θέραπας αὐτῶν καὶ τὸν Κλεῖνιν κατήσθιον. οἱ δὲ ἀπολλύμενοι τοὺς θεοὺς ἐπεβοῶντο. καὶ Ἅρπην μὲν καὶ*

1 *εἶδεν* Od.: *ἴδεν* P 3 ⟨*ποτε*⟩ Ma. 5 *ἔστησεν* P 6 *ἀποκτενεῖν* ex *ἀποκτείνειν* in P corr. 8 *ἱερεύσειεν* N.: *ἱερεύσει* P, *ἱερεύσαι* Ver. ad mg. P *ση* adscr. est 9 ⟨*μόνοις*⟩ Od., *θυσίαν* ⟨*μόνον*⟩ *ἐν Ὑπ.* Ver., *ἀγομένην* ⟨*μόνην*⟩ *αὐτῷ* Fonteinius 14 *Ἀρτιμίχη* ind. II s. *κ'* [*παῖδες*] ut ex uers. antec. huc perperam inl. deleo cum Knaack. Wochenschr. f. klass. Phil. 1890 p. 38: *πάντες* Fonteinius 16 *καὶ* ⟨*γὰρ μητέρα*⟩ *τερπ. τῇ ἑ.* Fonteinius 17 *τῷ Ἀπ.* Mu.: *τ' — ἀπ.* P *καὶ δὴ τούτοις* Ma., cf. praef. cap. II, *καὶ πὶ* P, *κἀπεὶ — μᾶλλον, Ἅρπασός τε* (Buechelerus) *καὶ Λ.* Od. 20 *ἐνέβαλεν* P

Ἅρπασον ᾤκτειρε Ποσειδῶν καὶ ἐποίησεν αὐτοὺς ὄρνιθας τῷ αὐτῷ λεγομένους ὀνόματι, Λητὼ δὲ καὶ Ἄρτεμις ἔγνωσαν ἀνασῷσαι τὸν Κλεῖνιν καὶ τὴν Ἀρτεμίχην καὶ τὸν Ὀρτύγιον, ὅτι οὐκ αἴτιοι τῶν ἀσεβημάτων ἦσαν· (6) *Ἀπόλλων δὲ Λητοῖ καὶ Ἀρτέμιδι δίδωσι τὴν χάριν καὶ πρόσθεν ἢ ἀποθανεῖν μεταβαλὼν ἐποίησε πάντας ὄρνιθας. καὶ ἐγένετο Κλεῖνις μὲν ὑψιαίετος· οὗτός ἐστι δεύτερος ὀρνίθων μετὰ τὸν αἰετόν, διαγνῶναι δ' οὐ χαλεπός· ὁ μὲν γάρ ἐστι νεβροφόνος ἐρεμνὸς μέγας τε καὶ ἄλκιμος, ὁ δὲ ἀετὸς μελάντερος καὶ ἐλάσσων ἐκείνου·* (7) *Λύκιος δὲ μεταβαλὼν ἐγένετο κόραξ τὸ χρῶμα λευκός, αὖτις δὲ βουλῇ Ἀπόλλωνος ἐγένετο κυάνεος, ὅτι πρῶτος ἤγγειλε Κορωνίδα τὴν Φλεγύου θυγατέρα γαμηθεῖσαν Ἀλκυονεῖ.* (8) *Ἀρτεμίχη δ' ἐγένετο πίφιγξ, θεοῖς τε καὶ ἀνθρώποις προσφιλὴς ὄρνις, Ὀρτύγιος δὲ αἰγίθαλλος, ὅτι τὸν πατέρα Κλεῖνιν ἀνέπειθεν αἶγας ἀντὶ τῶν ὄνων ἱερεύειν Ἀπόλλωνι.*

XXI. Πολυφόντη.

[Ἱστορεῖ Βοῖος ὀρνιθογονίας β'.]

Τερείνης τῆς Στρύμονος καὶ Ἄρεως ἐγένετο θυγάτηρ Θρᾷσσα. ταύτην δ' ἔγημεν Ἱππόνους ὁ Τριβαλλοῦ παῖς καὶ αὐτοῖς ἐγένετο θυγάτηρ ὄνομα Πολυφόντη. αὕτη τὰ μὲν ἔργα τῆς Ἀφροδίτης ἐξύβρισεν, ἐλθοῦσα δ' εἰς τὸ ὄρος Ἀρτέμιδος ἐγένετο συμ | παίκτρια καὶ fol. 200a *συνήθης.* (2) *Ἀφροδίτη δέ, ὅτι αὐτῆς ἠτίμασε τὰ*

3 *ἀνασῶσαι* P 6 ∾ *ἢ* linea curu. in ras. P *ἐποίησεν* P 7 *ὑπαίετος* praebent laterc. I et II sub *κ'* 8 *οὗτος ἐστὶ* P [*οὗτός ἐστι — (11) ἐκείνου·*] Od. 10 *τὲ* P 16 *αἰγίθαλλος* dedi (cf. ad fab. V § 5): *αἰγιθαλλον* acc. supra antepaen. erasus P 25 *συμπαίστρια* Berk.

ἔργα, ἔρωτα ἐνέβαλεν ἄρκτου καὶ ἐξέμηνεν αὐτήν· ἡ δὲ κατὰ δαίμονα οἰστρήσασα ἐμίγνυτο τῷ ἄρκτῳ. καὶ αὐτὴν ἡ Ἄρτεμις ἰδοῦσα ἐκτόπως ἐμίσησε καὶ πάντα εἰς αὐτὴν ἔτρεψε τὰ θηρία. (3) Πολυφόντη δὲ δείσασα μὴ θῆρές αὐτὴν διεργάσωνται φεύγουσα ἐξίκετο εἰς τὰ οἰκία τοῦ πατρός· καὶ ἔτεκε δύο παῖδας Ἄγριον καὶ Ὄρειον, μεγίστους ⟨ὄντας⟩ καὶ δύναμιν ἔχοντας ἄπλετον. οὗτοι ἐτίμων οὔτε θεὸν οὔτε ἄνθρωπον, ἀλλ' ἐξύβριζον εἰς πάντας καὶ εἴ τῳ ξένῳ ἐντύχοιεν ἀπάγοντες εἰς τὰ οἰκεῖα κατήσθιον. (4) Ζεὺς δὲ μισήσας αὐτοὺς ἀπέστειλεν Ἑρμῆν, ὅπως ἣν ἐθέλει δίκην αὐτοῖς ἐπιβάλῃ. καὶ ὁ μὲν Ἑρμῆς ἐβούλευσεν ἀποκόψαι τοὺς πόδας αὐτῶν καὶ τὰς χεῖρας· Ἄρης δ', ἐπεὶ τὸ γένος εἰς αὐτὸν ἀνέφερε Πολυφόντη, τούτου μὲν ἐξείλετο τοῦ μόρου τοὺς παῖδας, ἤλλαξε δὲ μετὰ Ἑρμοῦ τὴν φύσιν αὐτῶν εἰς ὄρνιθας. (5) καὶ ἐγένετο Πολυφόντη μὲν στὺξ φθεγγομένη νυκτὸς ἄτερ σίτου καὶ ποτοῦ, τὴν κεφαλὴν ἴσχουσα κάτω, τοὺς δὲ πόδας ἄκρους ἄνω, πολέμου καὶ στάσεως ἀνθρώποις ἄγγελος· Ὄρειος δ' ἐγένετο λαγῶς, ὄρνις ἐπ' οὐδενὶ φαινόμενος ἀγαθῷ· Ἄγριος δὲ μετέβαλεν εἰς γῦπα, πάντων ὀρνίθων ἔχθιστον θεοῖς τε καὶ ἀνθρώποις· καὶ διὰ παντὸς ἵμερον αὐτῷ κρέως καὶ αἵματος ἐνέβαλον ἀνθρωπείου. (6) τὴν δὲ θεράπαιναν αὐτῶν ἐποίησαν ἴπνην, ἡ

2 τῷ West.: τῆι P 6 οἰκεῖα N. 7 ⟨ὄντας⟩ Ma. 9 εἴ τῳ ξένῳ Ma.: εἴ τῳ ξένων P et Mu., εἰ τῷ ξένῳ Berk. 10 οἰκία Bl. 15 μεθ' Ἑρ. Od. 17 στὺξ Ma. (cf. ind. II sub κα' (εἰς στύγα) et **Hesychii** glossam στύξ· ὁ σκὼψ (noctuarum genus) τὸ ὄρνεον·): στῦξ P, στρὺξ Vossius; στρὶξ uel στρὶγξ Ver. [ἄτερ — (19) ἄνω] Od. Boei uersum sic sonasse putat Sakolowski: σίτου ἄτερ τε ποτοῦ, κεφαλὴν ἴσχουσα κάτω στύξ. 20 λαγῶς P (cf. praef. cap. II) uolgo λαγώς 21 Ἄγριον Berk. γύπα P, cf. ind. II s. κα'

δὲ μεταβάλλουσα τὴν φύσιν ηὔξατο θεοῖς μὴ κακὸς ὄρνις ἀνθρώποις γενέσθαι· καὶ αὐτῆς ὑπήκουσαν Ἑρμῆς καὶ Ἄρης, ἐπεὶ κατ' ἀνάγκας ἔδρασεν ἃ προσέτασσον οἱ δεσπόται· | καὶ ἔστιν ἀγαθὸς οὗτος ὁ ὄρνις fol. 200r *ἐπὶ θήραν ἰόντι καὶ δαῖτα.*

XXII. Κέραμβος.

[Ἱστορεῖ Νίκανδρος ἐν α' ἑτεροιουμένων.]

Κέραμβος ⟨ὁ⟩ Εὐσείρου τοῦ Ποσειδῶνος καὶ Εἰδοθέας νύμφης † Ὀθρηίδος ᾤκει ἐν τῇ γῇ τῇ Μηλιέων παρὰ τὴν ὑπώρειαν τῆς Ὄθρυος. ἐγένετο δὲ αὐτῷ θρέμματα πλεῖστα καὶ αὐτὰ ἐποίμαινεν αὐτός. (2) *νύμφαι δὲ συνελάμβανον αὐτῷ, διότι αὐτὰς ἐν τοῖς ὄρεσιν ᾄδων ἔτερπεν· λέγεται γὰρ μουσικώτατος τῶν τότε γενέσθαι καὶ ἐπὶ βουκολικοῖς ᾄσμασι διαβοηθῆναι καὶ σύριγγα ποιμενικὴν ἐν τοῖς ὄρεσι συνθεῖναι καὶ λύρᾳ πρῶτος ἀνθρώπων κεχρῆσθαι πλεῖστά τε καὶ κάλλιστα μέλη ποιῆσαι.* (3) *τούτων οὖν χάριν λέγουσιν ὀφθῆναι αὐτῷ ποτε νύμφας καὶ χορεῦσαι πρὸς τὰ κρούματα τοῦ Κεράμβου, Πᾶνα δὲ τοῦτο κατ' εὐμένειαν αὐτῷ παραγγεῖλαι καταλιπόντι τὴν Ὄθρυν ἐν τῷ πεδίῳ τὰ πρόβατα ποιμαίνειν· ἐξαίσιον γάρ τι καὶ ἄπιστον χρῆμα χειμῶνος ἐπεῖναι μέλλειν.* (4) *ὁ δὲ Κέραμβος ὑπὸ μεγαλαυχίας ἐκ νεότητος οἷα θεοβλαβὴς*

2 *αὐτῇ* N. 6 *Κέραμβος* passim in hac fab. scr. iubet Berk. (cf. **Ouid. met. VII 353**): *Τέραμβος* P 7 cf. Schn. Nic. p. 49 sqq. 8 ⟨*ὁ*⟩ *Εὐ.* Od. 9 *Ὀθρηίδος* uix sanum cf. Od. p. 20 qui *ὀρειάδος* prop., *Ὀθρυίδος* Sakolowski 15 marg. P adscr. sunt haec (litt. mai.): *ση τίσ ποιμενικὴν* (ΠΟΙΜΕΝΙ) *σύριγγα συνέθηκεν· καὶ λύρα ἐχρήσατο πρῶτος·* 19 *κατ' εὐμέλειαν* Cuper. apoth. Hom. p. 37 22 *ἐπεῖναι* [*μέλλειν*] Ma.

ἀπελαύνειν μὲν ἐκ τῆς Ὄθρυος εἰς τὸ πεδίον οὐκ ἐγίνωσκεν, ἀπέρριψε δὲ λόγον ἄχαρίν τε καὶ ἀνόητον εἰς τὰς νύμφας, ὅτι γένος μέν εἰσιν οὐκ ἀπὸ Διός, ἀλλ' ἔτεκεν αὐτὰς ἡ Δεινὼ τῷ Σπερχειῷ, Ποσειδῶν δὲ πόθῳ μιᾶς αὐτῶν Διοπάτρης τὰς ἀδελφὰς ἐρρίζωσε καὶ ἐποίησεν αἰγείρους, ἄχρις αὐτὸς κορεσθεὶς τῆς εὐνῆς ἀνέλυσε καὶ πάλιν αὐταῖς ἀπέδωκε τὴν ἐξ ἀρχῆς φύσιν. (5) *τοιαῦτα μὲν ὁ Κέραμβος ἐκερτόμησεν εἰς τὰς νύμφας. μετὰ δὲ χρόνον ὀλίγον ἐξαίφνης ἐγένετο κρυμὸς καὶ ἐπάγησαν αἱ χαράδραι καὶ πολλὴ κατέπεσε χιὼν καὶ τὰ ποίμνια τοῦ Κεράμβου* [*σὺν*] *αὐ-*
fol. 201s *ταῖς ἀτραποῖς καὶ δένδρεσιν | ἠφανίσθη. νύμφαι δὲ μετέβαλον κατ' ὀργὴν τὸν Κέραμβον, ὅτι αὐταῖς ἐλοιδόρησε, καὶ ἐγένετο ὑλοφάγος κεράμβυξ·* (6) *φαίνεται δὲ ἐπὶ τῶν ξύλων καὶ ἔστιν ἀγκύλος ἐκ τῶν ὀδόντων καὶ συνεχῶς τὰ γένεια κινεῖ, μέλας, παραμήκης, πτέρυγας στερεὰς ἔχων, ἐοικὼς τοῖς μεγάλοις κανθάροις. οὗτος ξυλοφάγος βοῦς καλεῖται, παρὰ δὲ Θετταλοῖς κεράμβυξ. τοῦτον οἱ παῖδες παίγνιον ἔχουσι καὶ τὴν κεφαλὴν ἀποτέμνοντες φέρουσιν, ἡ δὲ ἔοικε σὺν τοῖς κέρασι λύρᾳ τῇ ἐκ τῆς χελώνης.*

2 *ἀπέρριψεν* P *δὲ* ⟨*καὶ*⟩ Ma. 3 pro *εἰσιν* coni. *εἶχον* Mu. 4 *ἡ Δεινὼ τῷ Σπερχειῷ* Od.: *ἡ δεῖνα τοῦ σπερχειοῦ* P, *ἡ Δεινὼ τοῦ Σπερχειοῦ* Berk., *ἡ δεῖνα τῶν Σπερχειοῦ* Mu. 6 *ἄχρις* Od.: *ἄχρι* P 11 [*σὺν*] Ma. 13 *αὐτὰς* Od. 14 *ξυλοφάγος* Xyl., *συκοφάγος* Berk. [*φαίνεται* — (19) *κεράμβυξ*] Od. 15 *ἐπὶ τῶν συκῶν* Berk. 16 *γέννας* Mu. *κινῶν* Ver. 18 *συκοφάγος* Berk. *Θεσσαλοῖς* Od.

XXIII. Βάττος.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α′ καὶ Ἡσίοδος ἐν μεγάλαις Ἠοίαις καὶ Διδύμαρχος μεταμορφώσεων γ′ καὶ Ἀντίγονος ἐν ταῖς ἀλλοιώσεσι καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν ἐπιγράμμασιν, ὥς φησι Πάμφιλος ἐν α′.]

Ἄργου τοῦ Φρίξου καὶ Περιμήλης τῆς Ἀδμήτου θυγατρὸς ἐγένετο Μάγνης. οὗτος ᾤκησεν ἐγγὺς Θεσσαλίας καὶ τὴν γῆν ταύτην ἀπ' αὐτοῦ Μαγνησίαν προσηγόρευσαν οἱ ἄνθρωποι. ἐγένετο δ' αὐτῷ παῖς περίβλεπτος τὴν ὄψιν Ὑμέναιος. (2) *ἐπεὶ δὲ Ἀπόλλωνα ἰδόντα ἔρως ἔλαβε τοῦ παιδὸς καὶ οὐκ ἐξελίμπανε τὰ οἰκία τοῦ Μάγνητος, Ἑρμῆς ἐπιβουλεύει τῇ ἀγέλῃ τῶν βοῶν τοῦ Ἀπόλλωνος. αἱ δὲ ἐνέμοντο ἵναπερ ἦσαν αἱ Ἀδμήτου βόες. καὶ πρῶτα μὲν ἐμβάλλει ταῖς κυσίν, αἳ ἐφύλαττον αὐτάς, λήθαργον καὶ κυνάγχην, αἱ δὲ ἐξελάθοντο τῶν βοῶν καὶ τὴν ὑλακὴν ἀπώλεσαν.* (3) *εἶτα δ' ἀπελαύνει πόρτιας δώδεκα καὶ ἑκατὸν βοῦς ἄζυγας καὶ ταῦρον, ὃς ταῖς βουσὶν ἐπέβαινεν. ἐξῆπτε δὲ ἐκ τῆς οὐρᾶς πρὸς ἕκαστον ὕλην, ὡς ἂν τὰ ἴχνη τῶν βοῶν ἀφανίσῃ, καὶ ἦγεν αὐτὰς ἐλαύνων διά τε Πελασγῶν καὶ δι' Ἀχαΐας τῆς Φθιώτιδος καὶ διὰ Λοκρίδος καὶ Βοιωτίας καὶ Μεγαρίδος καὶ ἐντεῦθεν εἰς Πελοπόννησον διὰ Κορίνθου καὶ Λαρίσσης ἄχρι Τεγέας καὶ ἐντεῦθεν παρὰ τὸ Λύκαιον*

2 cf. Schn. Nic. p. 50 proxx. 3 *Δίδυμος Ἀριστάρχειος* Schmidt. 'Did. Chalc. fragm.' p. 364 4 *Ἀπ. ὁ Ῥ. ἐν ἔπεσιν* Sakolowski. 'de anthol. Palat. qu.' 1893 p. 52 5 *Παμφίλη ἐν α′* Hecker. in 'com. crit. de anthol. gr.' I p. 19 not. de fab. uide Plaehn. 'de Nicandro' 1882 p. 37 sqq. 8 *γὴν* P marg. adsc.: *ση πόθεν τῆι μαγνησίαι χώραι τοὔνομα·* 10 *περιβόητος* N. 12 *οἰκεῖα* N. 16 *ὑλακὴν* Jacobs. 'exerc. in scr. uet.' II p. 89: *φυλακὴν* P 21 *Ἀχαΐας καὶ Φθιώτιδος* Berk.

fol. 201r ὄρος ἐπορεύετο καὶ παρὰ τὸ Μαινάλιον | καὶ τὰς λεγομένας Βάττου σκοπιάς. (4) ᾤκει δὲ ὁ Βάττος οὗτος ἐπ' ἄκρῳ τῷ σκοπέλῳ· καὶ ἐπεὶ τῆς φωνῆς ἤκουσε παρελαυνομένων τῶν μόσχων, προελθὼν ἐκ τῶν οἰκείων ἔγνω περὶ τῶν βοῶν, ὅτι κλοπιμαίας ἄγει, καὶ μισθὸν ᾔτησεν, ἵνα πρὸς μηδένα φράσῃ περὶ αὐτῶν. Ἑρμῆς δὲ δώσειν ἐπὶ τούτοις ὑπέσχετο καὶ ὁ Βάττος ὤμοσε περὶ τῶν βοῶν πρὸς μηδένα κατερεῖν. (5) ἐπεὶ δὲ αὐτὰς Ἑρμῆς ἔκρυψεν ἐν τῷ πρηῶνι παρὰ τὸ Κορυφάσιον εἰς τὸ σπήλαιον εἰσελάσας ἄντικρυς Ἰταλίας καὶ Σικελίας, αὖθις ἀφίκετο πρὸς τὸν Βάττον ἀλλάξας ἑαυτὸν καὶ πειρώμενος, εἰ αὐτῷ συμμένειν ἐπὶ τοῖς ὁρκίοις ἐθέλει· διδοὺς δὲ μισθὸν χλαῖναν ἐπυνθάνετο παρ' αὐτοῦ, μὴ κλοπιμαίας βοῦς ἔγνω παρελαθείσας. (6) ὁ δὲ Βάττος ἔλαβε τὴν χλαμύδα καὶ ἐμήνυσε περὶ τῶν βοῶν. Ἑρμῆς δὲ χαλεπήνας, ὅτι διχόμυθος ἦν, ἐρράπισεν αὐτὸν τῇ ῥάβδῳ καὶ μετέβαλεν εἰς πέτρον. καὶ αὐτὸν οὐκ ἐκλείπει κρύος οὐδὲ καῦμα. λέγεται δὲ καὶ ὁ τόπος ⟨ὑπὸ τῶν⟩ παροδευόντων ἄχρι νῦν σκοπιαὶ Βάττου.

XXIV. Ἀσκάλαβος.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.]

Δημήτηρ ὅτε πλανῆτις ἐπῄει ⟨τὴν⟩ γῆν ἅπασαν κατὰ ζήτησιν τῆς θυγατρὸς ἀνεπαύσατο ἐν τῇ Ἀττικῇ.

1 *Μαίναλιον ὄρος ἐπ. κ. π. τὸ Λύκαιον* Od., sed cf. praef. cap. II 3 *ἐπ' ἄκρω τω σκ.* Schn. l. l. 4 *οἰκίων* Bl. 10 *ἰταλλίας* P 11 *αὖτις* Schn. l. l. et N. 15 *χλαῖναν* Berk., *χλανίδα* Mu. 16 *χαλεπή'νας* P 17 *ἐράπισεν* P 19 *⟨ὑπὸ τῶν⟩ παροδευόντων* Od.: *παροδευόντων* P, *παρ' ὁδευόντων* Bast. 20 *σκοπιαὶ* Schn. l. l.: *σκοπιὰ* P 21 *ἀσκαλαβός* hic et infra P, cf. laterc. I et II sub *κδ'* 22 cf. Schn. Nic. p. 63. de fab. uide Förster. 'Raub und Rückkehr der Persephone' p. 80 sqq. 23 *⟨τὴν⟩ γῆν ἅπασαν* Ma.

καὶ αὔην ὑπὸ πολλοῦ καύματος ὑποδέχεται Μίσμη καὶ διδοῖ ποτὸν ὕδωρ ἐμβαλοῦσα γλήχωνα καὶ ἄλφιτον εἰς αὐτό. (2) *καὶ ἡ Δημήτηρ ἐξέπιε κατὰ τὸ δίψος τὸ ποτὸν ἀθροῦν. ὁ δὲ παῖς ὁ τῆς Μίσμης Ἀσκάλαβος ἰδὼν ἐποιήσατο γέλωτα καὶ αὖτις ἐκέλευεν ὀρέγειν αὐτῇ λέβητα βαθὺν ἢ πιθάκνην.* (3) *Δημήτηρ δὲ κατ' ὀργὴν ὡς εἶχε τὸ ποτὸν αὐτῷ τὸ καταλειπόμενον προσέχεεν. ὁ δὲ μεταβαλὼν ἐγένετο ποικίλος ἐκ τοῦ σώματος | ἀσκάλαβος καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων* fol. 202a *μεμίσηται. καὶ ἔστιν αὐτῷ δίαιτα παρ' ὀχετόν. ὁ δὲ ἀποκτείνας κεχαρισμένος γίνεται Δήμητρι.*

XXV. Μητιόχη καὶ Μενίππη.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ' καὶ Κόριννα γεροίων α'.]

Ὠρίωνος τοῦ Ὑριέως ἐν Βοιωτίᾳ θυγατέρες ἐγένοντο Μητιόχη καὶ Μενίππη. αὗται, ὅτε Ὠρίωνα ἠφάνισεν ἐξ ἀνθρώπων Ἄρτεμις, ἐτρέφοντο παρὰ τῇ μητρί. καὶ Ἀθηνᾶ μὲν ἐδίδασκεν αὐτὰς ἱστοὺς ἐξυφαίνειν, Ἀφροδίτη δὲ αὐταῖς ἔδωκε κάλλος. (2) *ἐπεὶ δὲ Ἀονίαν ὅλην ἔλαβε λοιμὸς καὶ πολλοὶ ἀπέθνησκον, θεωροὺς ἀπέστειλαν παρὰ τὸν Ἀπόλλωνα τὸν Γορτύνιον· καὶ αὐτοῖς εἶπεν ὁ θεὸς ἱλάσσασθαι δύο τοὺς ἐριουνίους θεούς· ἔφη δὲ καταπαύσειν αὐτοὺς τὴν*

1 *αὔην* Piersonus 'uerisim.' p. 37: *αὐτὴν* P 4 *ἀθρόως* Mu. fort. Nic.: *αὖθι κέλευε λέβητ' ὀρέγειν βαθὺν ἠὲ πιθάκνην* 8 *μεταβαλὼν* Lennepius ad Phal. p. 273 (idem legi uoluisse uidetur Xyl., qui uertit: 'isque mutata forma q. s.'): *μεταλαβὼν* P 11 *δημῆτρι* P 12 *μητι//χη* P 13 cf. Schn. Nic. p. 63 sqq. et Bergk. Poet. lyr. gr. III[4] p. 544 sqq. Ε$\overset{\Gamma}{\mathrm{T}}$ΕΡΟΙΩΝ i. q. *γεροίων* cf. Herch. in Hermae uol. XII p. 315 sq. 14 *ὠρίωνος* P, idem spiritus infra bis 20 *Ἀπ. τὸν Γρύνειον* Jacobsius in uers. germ. p. 119 not. **) 21 *ἱλάσασθαι* Od. et N., sed uide Schn. l. l. p. 63 not. 2 *τοὺς δύο* Schn. l. l. sed cf. Od. p. 41

μῆνιν, εἰ δύο δυσὶν ἑκοῦσαι παρθένοι θύματα γένοιντο. (3) *πρὸς* [*δὲ*] *δὴ τὸ μαντεῖον οὐδεμία τῶν ἐν τῇ πόλει παρθένων ὑπήκουσεν, ἄχρι γυνὴ θῆσσα τὸν χρησμὸν ἐξήνεγκε πρὸς τὰς θυγατέρας τοῦ Ὠρίωνος. αἱ δ' ὡς ἐπύθοντο περὶ τὸν ἱστὸν ἔχουσαι, ⟨ἑκοῦσαι⟩ τὸν ὑπὲρ ἀστῶν θάνατον ἐδέξαντο πρὶν ἢ τὴν ἐπιδήμιον ἐπιπεσοῦσαν αὐτὰς ἀφανίσαι νόσον· τρὶς δὲ βοησάμεναι χθονίους δαίμονας, ὅτι αὐτοῖς ἑκοῦσαι θύματα γίνονται, ἐπάταξαν ἑαυτὰς τῇ κερκίδι παρὰ τὴν κλεῖδα καὶ ἀνέρρηξαν τὴν σφαγήν.* (4) *καὶ αὗται μὲν ἀμφότεραι κατέπεσον ἐς τὴν γῆν· Φερσεφόνη δὲ καὶ Ἅιδης οἰκτείραντες τὰ μὲν σώματα τῶν παρθένων ἠφάνισαν, ἀντὶ δ' ἐκείνων ἀστέρας ἀνήνεγκαν ἐκ τῆς γῆς· οἱ δὲ φανέντες ἀνηνέχθησαν εἰς οὐρανόν, καὶ αὐτοὺς ὀνόμασαν ἄνθρωποι κομήτας.* (5) *ἱδρύσαντο δὲ πάντες ⟨οἱ⟩ Ἄονες ἐν Ὀρχομενῷ τῆς Βοιωτίας ἱερὸν ἐπίσημον τῶν παρθένων τούτων. καὶ αὐταῖς καθ' ἕκαστον ἔτος κόροι τε καὶ κόραι* fol. 202r *μει | λίγματα φέρουσιν. προσαγορεύουσι δ' αὐτὰς ἄχρι νῦν Αἰολεῖς Κορωνίδας παρθένους.*

XXVI. Ὕλας.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.]

Ἡρακλῆς ὅτε μετὰ τῶν Ἀργοναυτῶν ἔπλει, στρατηγὸς ὑπ' αὐτῶν ἀποδειχθεὶς συνεπήγετο μεθ' αὐτοῦ

1 *ἑκοῦσαι* Gal.: *ἔχουσαι* P 2 *πρὸς* [*δὲ*] *δὴ* Ma. 5 *αἳ δ' ὡς* P *περὶ τὸν ἱστ. ἔχουσαι,* ⟨*ἑκοῦσαι*⟩ *τ.* Ma.: *παρὰ τὸν ἱστ. ἔχουσαι τ.* P, *περὶ τὸν ἱστ. ἔχουσαι τ.* Bast., *παρὰ τὸν ἱστόν, ἑκοῦσαι τ.* uolgo 6 *ἀστῶν* Valckenaerius: *αυτῶν* P 8 ⟨*ἐπι*⟩*βοησάμενοι* Ruhnkenius, sed uers. her. frust. esse uid. *τρὶς δὲ βοησάμεναι χθονίους* 11 *εἰς* Od. 16 ⟨*οἱ*⟩ Ma. 18 *κόροι τὲ* P 20 pro *Αἰολεῖς* ci. *Ἄονες* Berk. *Κορωνίδας* Bl.: *κορωνίδας* uolgo 22 cf. Schn. Nic. p. 57 ad rem cf.

καὶ Ὕλαν, παῖδα μὲν Κήυκος, † ἴτυπος' νέον δὲ καὶ καλόν. (2) *ἐπεὶ δὲ πρὸς τὸ στενὸν ἐξίκοντο τοῦ Πόντου καὶ τὰ σφυρὰ παρέπλευσαν τῆς Ἀργανθώνης καὶ ἐγένετο χειμὼν καὶ σάλος, ἐνταῦθα καταβαλόντες ἀγκύρας ἀνέπαυσαν τὴν ναῦν. καὶ Ἡρακλῆς παρεῖχε τοῖς ἥρωσι τὸ δεῖπνον.* (3) *ὁ δὲ παῖς Ὕλας ἔχων κρωσσὸν ἦλθε πρὸς τὸν Ἀσκάνιον ποταμὸν ὕδωρ ἀποίσων τοῖς ἀριστεῦσιν· καὶ αὐτὸν ἰδοῦσαι νύμφαι, ⟨αἱ⟩ τοῦ ποταμοῦ τούτου θυγατέρες, ἠράσθησαν, ἀρυόμενον δὲ καταβάλλουσιν εἰς τὴν κρήνην.* (4) *καὶ ὁ μὲν Ὕλας ἀφανὴς ἐγένετο, Ἡρακλῆς δ', ἐπεὶ αὐτῷ οὐκ ἐνόστει καταλιπὼν τοὺς ἥρωας ἐξερευνᾷ πανταχοῖ τὸν δρυμὸν καὶ ἐβόησε πολλάκις τὸν Ὕλαν. νύμφαι δὲ δείσασαι τὸν Ἡρακλέα, μὴ αὐτὸν εὕροι κρυπτόμενον παρ' αὐταῖς, μετέβαλον τὸν Ὕλαν καὶ ἐποίησαν ἠχὼ καὶ πρὸς τὴν βοὴν πολλάκις ἀντεφώνησεν Ἡρακλεῖ.* (5) *καὶ ὁ μὲν ὡς οὐκ ἐδύνατο πλεῖστα πονησάμενος ἐξευρεῖν τὸν Ὕλαν, παρεγένετο πρὸς τὴν ναῦν καὶ αὐτὸς μὲν ἔπλει μετὰ τῶν ἀριστέων, Πολύφημον δὲ καταλείπει ἐν τῷ χωρίῳ, εἴ πως δύναιτο ζητῶν ἐξευρεῖν αὐτῷ τὸν Ὕλαν. καὶ ὁ μὲν Πολύφημος ἔφθη τελευτήσας, Ὕλᾳ δὲ θύουσιν ἄχρι νῦν παρὰ τὴν κρήνην*

Türk. 'de Hyla' Vrat. 1894 p. 30 sqq. p. 104, 22 *ἐτ. β'* ex **schol. ad Apoll. Arg. I 1236** [p. 378 K.] restituit Mu. (cf. etiam Bl. p. 52): *ἐτ. δ'* P 24 [*μεθ' αὐτοῦ*] Od. 1 *κήυκος ἴτυπος' νέον δὲ καὶ καλόν* P, *ἀτόπως* in marg. ed. Xyl., *K. ἐκτόπως* uel *ὑπερφυῶς ν. κ. κ.* Berk., *K. νέον δὲ καὶ ἐκτόπως κ.* Ruhnkenius, *K. τεθηπὼς ν. κ κ.* Toup. em. in Suid. IV p. 170 2 *ἐπεὶ δὲ τὰ σφυρὰ παρέπλευσαν τῆς Ἀργ. καὶ πρὸς τὸ στενὸν ἐξίκοντο τοῦ Πόντου καὶ* Od., sed cf. praef. cap. II 7 *κρωσὸν* P (cf. Herod. ed. Lentz I. p. 206, 5): uolgo *κρωσσὸν* 8 *ἀριστεῦσι* P *νύμφαι ⟨αἱ⟩* N. 12 *ἐξεραυνᾶι* P *πανταχῇ* uel *πανταχοῦ* Od. 13 *⟨αἱ⟩ νύμφαι* West. 17 *πονησάμενος* N. et Otto 'de fabulis Propertianis' p. 48: *ποιησάμενος* P

οἱ ἐπιχώριοι καὶ αὐτὸν ἐξ ὀνόματος εἰς τρὶς ὁ ἱερεὺς φωνεῖ καὶ εἰς τρὶς ἀμείβεται πρὸς αὐτὸν ἠχώ.

XXVII. Ἰφιγένεια.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ′.]

Θησέως καὶ Ἑλένης τῆς Διὸς ἐγένετο θυγάτηρ Ἰφιγένεια καὶ αὐτὴν ἐξέτρεφεν ἡ τῆς Ἑλένης ἀδελφὴ fol. 203a *Κλυ | ταιμήστρα, πρὸς δὲ τὸν Ἀγαμέμνονα εἶπεν αὐτὴ τεκεῖν· Ἑλένη γὰρ πυνθανομένων τῶν ἀδελφῶν ἔφη κόρη παρὰ Θησέως ἀπελθεῖν.* (2) *ἐπεὶ δὲ ἡ στρατιὰ ἡ τῶν Ἀχαιῶν ὑπὸ ἀπλοίας ἐν Αὐλίδι κατείχετο, προεσήμαινον οἱ μάντεις, ὅτι ἔσοιτο πλοῦς, ἐὰν Ἀρτέμιδι θύσωσι τὴν Ἰφιγένειαν. Ἀγαμέμνων δὲ διδοῖ σφάγιον αὐτὴν αἰτούντων τῶν Ἀχαιῶν, πρὸς δὲ τὸν βωμὸν ἀγομένην οἱ μὲν ἀριστεῖς οὐ προσέβλεψαν, ἀλλὰ πάντες ἔτρεψαν ἄλλῃ τὰς ὄψεις.* (3) *Ἄρτεμις δὲ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε μόσχον, αὐτὴν δὲ προσωτάτω τῆς Ἑλλάδος ἀπήνεγκεν εἰς τὸν Εὔξεινον λεγόμενον πόντον παρὰ Θόαντα τὸν Βορυσθένους παῖδα. καὶ τὸ μὲν ἔθνος ἐκεῖνο τῶν νομάδων ἐκάλεσε Ταύρους, ἐπεὶ ἀντὶ τῆς Ἰφιγενείας παρὰ τὸν βωμὸν ἔφηνε ταῦρον, αὐτὴν δ' ἡ θεὸς Ταυροπόλον.* (4) *κατὰ*

2 Nic. *ἀμείβεται ἠχώ* 4 cf. Schn. Nic. p. 64 sqq. 5 cf. **Paus. II 22, 7** 6 in marg. P *ση* 7 *ἀυτη* P 8 *πυνθανομένων* Ruhnkenius: *πυνθανομένη* P 9 *στρατιὰ* Od.: *στρατεια* P uolgo *στρατεία* 10 *ὑπ' ἀπλοίας* Od. *προ//εσήμαινον* P *προὐσήμαινον* Koen. ad Greg. p. 116 et Od. 12 *σφάγι-÷-ον* (*γι* in ras.) P: *σφαγὸν* Roulez. 16 et 21 *ἔφη'νε* P 17 *προσωτάτω — τῆς* P marg. P litt. mai. adpicta sunt *ση παρὰ τίνα ἦλθεν ἰφιγένεια* 19 uerba inde a *καὶ τὸ μὲν ἔθνος* usque ad *ταυροπόλον* num Anton. sint dub. Od. 20 in marg. P leguntur litt. mai. exar. haec: *ση πόθεν τῶν ταύρων τῶι ἔθνει, τὸ ὄνομα* 21 *αὐτὴν δ' ἡ θεὸς Ταυροπόλον* Od., *αὐτὴν δ' οστροπόλον* (ad marg.

δὲ χρόνον ⟨τὸν⟩ ἱκνούμενον ἀπῴκισε τὴν Ἰφιγένειαν εἰς τὴν Λευκὴν λεγομένην ⟨νῆσον⟩ παρὰ τὸν Ἀχιλλέα καὶ ἀλλάξασα ἐποίησεν αὐτὴν ἀγήρων καὶ ἀθάνατον δαίμονα καὶ ὠνόμασεν ἀντὶ τῆς Ἰφιγενείας Ὀρσιλοχίαν. ἐγένετο δὲ Ἀχιλλεῖ σύνοικος.

XXVIII. Τυφών.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ΄.]

Τυφὼν ἐγένετο Γῆς υἱὸς ἐξαίσιος δαίμων πρὸς ἰσχύν, κατὰ δὲ τὴν ὄψιν παρηλλαγμένος· ἐπεφύκεσαν γὰρ ⟨αὐτῷ⟩ κεφαλαὶ πλεῖσται καὶ χέρες καὶ πτέρυγες, ἐκ δὲ τῶν μηρῶν μέγισται δρακόντων σπεῖραι, φωνὰς δὲ παντοίας ἠφίει καὶ αὐτὸν οὐδὲν ὑπέμεινεν εἰς ἀλκήν. (2) *οὗτος ἐπεθύμησε τοῦ Διὸς ἔχειν τὴν ἀρχὴν καὶ αὐτὸν ἐπερχόμενον οὐδεὶς ὑπέμενε τῶν θεῶν, ἀλλὰ δείσαντες ἔφυγον πάντες εἰς τὴν Αἴγυπτον, Ἀθηνᾶ δὲ καὶ Ζεὺς ὑπελείφθησαν μόνοι. Τυφὼν δ' ἐκ ποδὸς ἐδίωκεν. .οἱ δὲ προμηθείᾳ διέφυγον | ἀλλά-* fol. 203r *ξαντες εἰς ζῷα τὰς ὄψεις·* (3) *καὶ Ἀπόλλων μὲν ἐγένετο ἱέραξ, Ἑρμῆς δὲ ἶβις, Ἄρης δὲ λεπιδωτὸς ἰχθύς, Ἄρτεμις δὲ αἴλουρος, τράγῳ δὲ εἰκάζεται Διόνυσος, ἐλλῷ δ' Ἡρακλῆς, βοῒ δ' Ἥφαιστος, μυγαλῇ δὲ Λητώ,*

adpicta lineola) P, *αὐτὴν δὲ ταυροπόλον* uel *αὐτὴν δὲ ταυροπόλου ἱέρειαν κατέστησε* Gal., *αὐτὴν δὲ ἀπέδειξεν ἱέρειαν Ἀρτέμιδος Ταυροπόλου* Mu., *αὐτὴν δ' ὄνομα Ταυροπόλον* Schn. l. l. p. 106, 21 *κατὰ δὲ χρόνον ⟨τὸν⟩* (Od.) *ἱκνούμενον* (Mu.): *κ. δ. χ. ἱκούμενον* P 2 *⟨νῆσον⟩* Mu. 3 *ἀγήρω* Berk. 4 *ὀρεῖλοχίαν* (σι supra ει) P, *ὀρσιλόχη* ind. II, *Ὀρσιλόχειαν* Schn. l. l. 6 *Τυφῶν* hic et infra P 7 cf. Schn. Nic. p. 65 10 *⟨αὐτῷ⟩* Ma. *χεῖρες* plerique edd. et Schn. 12 *ὑπέμεινεν* Schn. l. l.: *ὑπέμενεν* P 14 *ὑπέμενε* Schn. l. l. *ὑπέμεινε* P 19 *ἱέραξ* P (cf. fab. III) *ἵβις* P 20 *αἴλουρος* Bochartus (cf. ind. II sub *κη΄*): *σίλουρος* P 21 *ἐλλῷ* dedi (cf. Lex. Hom. ed. Ebeling s. u. *ἐλλός*): *ἕλλωι* P cf. etiam laterc. II s. *κη΄* *μυγαλῃι* P

καὶ ὡς ἕκαστος ἔτυχε τῶν ἄλλων θεῶν μετέβαλε τὴν ὄψιν. ἔπει⟨τα⟩ δὲ Τυφῶνα Ζεὺς βάλλει κεραυνῷ, καιόμενος δὲ ὁ Τυφὼν ἔκρυψεν ἑαυτὸν καὶ ἠφάνισε τὴν φλόγα τῇ θαλάσσῃ. (4) *Ζεὺς δ' οὐκ ἀνίησιν, ἀλλ' ὃ μέγιστον ὄρος ἐπιβάλλει Τυφῶνι τὴν Αἴτνην καὶ αὐτῷ φύλακα τὸν Ἥφαιστον ἐπὶ τῶν ἄκρων ἐφίστησιν· ὁ δ' ἐνερείσας τοὺς ἄκμονας αὐτοῦ τῷ τραχήλῳ διάπυρον ἐργάζεται μύδρον.*

XXIX. Γαλινθιάς.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων δ'.]

Προίτου θυγάτηρ ἐν Θήβαις ἐγένετο Γαλινθιάς. αὕτη ⟨ἡ⟩ παρθένος ἦν συμπαίκτρια καὶ ἑταιρὶς Ἀλκμήνης τῆς Ἠλεκτρύωνος. ἐπεὶ δὲ Ἀλκμήνην ὁ τόκος ἤπειγε τοῦ Ἡρακλέους, Μοῖραι καὶ Εἰλείθυια πρὸς χάριν τῆς Ἥρας κατεῖχον ἐν ταῖς ὠδῖσι τὴν Ἀλκμήνην. (2) *καὶ αὗται μὲν ἐκαθέζοντο κρατοῦσαι τὰς ἑαυτῶν χεῖρας, Γαλινθιὰς δὲ δείσασα μὴ Ἀλκμήνην ἐκστήσωσι βαρυνομένην οἱ πόνοι, δραμοῦσα παρά τε τὰς Μοίρας καὶ τὴν Εἰλείθυιαν ἐξήγγειλεν ὅτι Διὸς βουλῇ γέγονε τῇ Ἀλκμήνῃ παῖς κόρος, αἱ δὲ ἐκείνων τιμαὶ καταλέλυνται.* (3) *πρὸς δὴ τοῦτ' ἔκπληξις ἔλαβε τὰς Μοίρας καὶ ἀνῆκαν εὐθὺς τὰς χεῖρας, Ἀλκμήνην δὲ κατέλιπον εὐθὺς αἱ ὠδῖνες καὶ ἐγένετο Ἡρακλῆς. αἱ δὴ Μοῖραι πένθος ἐποιήσαντο καὶ τῆς Γαλινθιάδος*

2 *ἔπει⟨τα⟩ δὲ* Unger. 'Theb. par.' I p. 438: *ἐπεὶ δὲ* P 3 *ἠφάνισεν* P 5 in marg. P litt. mai. exar. exstant haec: *ση τὸν καιόμενον ὑπὸ τὴν αἴτνην τίνα λέγει* 10 cf. Schn. Nic. p. 65 sqq. de fabula uide Plaehn. 'de Nicandro' p. 35 proxx. 12 ⟨*ἡ*⟩ Od. *συμπαίστρια* Berk. *ἑταίρισα* P 14 *ἤπειγεν* P 20 *ἀλκμήῃ* P 21 *λύμαι* uel *φαρμακεῖαι* Boettig. Ilith. p. 34 22 *ἀν.* [*εὐθὺς*] *τ. χ.*? Ma. 24 *αἱ δὲ Μ.* Od. *γαλινθίδος* P

ἀφείλοντο τὴν κορείαν, ὅτι θνητὴ οὖσα θεοὺς ἐξηπάτησε, καὶ αὐτὴν ἐποίησαν δολερὰν γαλῆν καὶ δίαιταν ἔδωκαν ἐν τῷ μυχῷ καὶ ἄμορφον ἀπέδειξαν τὴν εὐνήν· θορίσκεται μὲν γὰρ διὰ τῶν ὤτων, τίκτει | fol. 204a *δ' ἀναφέρουσα τὸ κυόμενον ἐκ τοῦ τραχήλου.* (4) *ταύτην Ἑκάτη πρὸς τὴν μεταβολὴν τῆς ὄψεως ᾤκτειρε καὶ ἀπέδειξεν ἱερὰν αὐτῆς διάκονον· Ἡρακλῆς δ' ἐπεὶ ηὐξήθη τὴν χάριν ἐμνημόνευσε καὶ αὐτῆς ἐποίησεν ἀφίδρυμα παρὰ τὸν οἶκον καὶ ἱερὰ προσήνεγκεν. ταῦτα νῦν ἔτι τὰ ἱερὰ Θηβαῖοι φυλάττουσι καὶ πρὸ Ἡρακλέους ἑορτῆς θύουσι Γαλινθιάδι πρώτῃ.*

XXX. Βυβλίς.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β'.]

Ἀπόλλωνος καὶ Ἀκακαλλίδος τῆς Μίνω θυγατρὸς ἐγένετο παῖς ἐν Κρήτῃ Μίλητος. τοῦτον ἡ Ἀκακαλλὶς δείσασα Μίνω ἐξέβαλεν εἰς τὴν ὕλην, καὶ αὐτὸν ἐπιφοιτῶντες λύκοι βουλῇ Ἀπόλλωνος ἐφύλαττον καὶ ὤρεγον παρὰ μέρος γάλα. ἔπειτα δὲ βουκόλοι περιτυχόντες ἀνείλοντο καὶ ἔτρεφον ἐν τοῖς οἰκείοις. (2) *ἐπεὶ δὲ ὁ παῖς ηὔξετο καὶ ἐγένετο καλὸς καὶ δραστήριος καὶ*

1 *ἀφ. τὸ χορίον* (uterum) Jacobs. in uers. germ. p. 125***) *θν. οὖσα θεοὺς* Bl.: *θν. τοὺς θεοὺς* ex *τοῖς θεοῖς* eff. in P, *θν. τὰς θεοὺς* Berk., *θν.* [*τοὺς*] *θεοὺς* Schn. l. l. *ἐξηπάτησεν* P 4 *θορνύεται* Berk., *θορεῖται* Gal., *κνίσκεται* Mu. in marg. P *ση* 6 *ᾤκτειρεν* (*ει* ex *ι* corr.) P 10 *ἔτι νῦν* Od. *πρὸ Ἡρακλέους ἑορτῆς θ. Γαλινθιάδι πρώτῃ* Bast.: *πρὸ ἡρ. ἑορτῆι θ. γ. π.* P, *πρὸ Ἡρ. ἑορτῆς θ. Γαλινθιάσια* Heringa obs. p. 17, qui *Γαλινθιάδι πρώτῃ* ex *Γαλινθιάδι α'* subnatum censet. *πρὸ Ἡρ. ἑορτῇ θ. Γ. π.* Schn. l. l. 12 *Βυβλίς* passim rep. Berk. et Jacobs. in add. an. in Ath. p. 56: *βιβλίς* P, excepto uno loco (p. 110, 6), ubi *βυβλίς* 13 cf Schn. Nic. p. 55, de fabula adi Rohde. 'griech. Roman' p. 95 not. 1 16 *Μίνων* uel *Μίνωα* Berk. *ἐξέβαλεν* N.: *ἐξέβαλλεν* P 19 *οἰκίοις* Berk. et Bl.

ὁ Μίνως κατὰ πόθον ἐνεχείρει βιάζεσθαι, τότε νυκτὸς ὁ Μίλητος ἐμβὰς εἰς ἄκατον βουλῇ Σαρπηδόνος εἰς Καρίαν ἀποδιδράσκει καὶ πόλιν ἐνταυθοῖ κτίσας Μίλητον ἔγημεν Εἰδοθέην τὴν Εὐρύτου θυγατέρα τοῦ βασιλέως τῶν Καρῶν. καὶ ἐγένοντο δίδυμοι παῖδες αὐτῷ Καῦνος [καὶ Βυβλίς], ἀφ' οὗ πόλις ἐστὶν ἔτι νῦν ἐν Καρίᾳ Καῦνος, καὶ Βυβλίς. (3) *ταύτης ἐγένοντο πλεῖστοι μνηστῆρες ἐπιχώριοι καὶ κατὰ κλέος ἐκ τῶν πέριξ πόλεων. ἡ δὲ τῶν μὲν λόγον ἐποιεῖτο βραχύν, αὐτὴν δὲ ἄφατος ἔρως ἐξέμηνε τοῦ Καύνου. καὶ τὸ πάθος ἄχρι μὲν ἐδύνατο κρύπτειν ἐλελήθει τοὺς γονεῖς· ἐπεὶ δὲ καθ' ἡμέραν εἴχετο χαλεπωτέρῳ δαίμονι, νυκτὸς ἔγνω καταβαλεῖν κατὰ τῆς πέτρας ἑαυτήν.* (4) *καὶ ἡ μὲν εἰς τὸ πλησίον ὄρος παρελ-* fol. 204r *θοῦσα ῥίπτειν | ἑαυτὴν ἐπεχείρησε, νύμφαι δὲ κατέσχον οἰκτείρασαι καὶ πολὺν ὕπνον ἐνέβαλον καὶ αὐτὴν ἤλλαξαν ἀπ' ἀνθρώπου εἰς δαίμονα καὶ ὠνόμασαν ἁμαδρυάδα νύμφην Βυβλίδα καὶ ἐποιήσαντο συνδίαιτον ἑταιρίδα. καλεῖται δὲ καὶ τὸ ῥέον ἐκ τῆς πέτρας ἐκείνης ἄχρι νῦν παρὰ τοῖς ἐπιχωρίοις δάκρυον Βυβλίδος.*

1 *κατὰ φθόνον* cl. **Schol. ad Apoll. Arg. I u. 186** [p. 315 K.] Ver. 3—8 in marg. P litt. mai. *ση τὸ ὅλον* 6 *Καῦνος* [*καὶ Βυβλίς*], *ἀφ' οὗ* — (7) *Καῦνος, καὶ Βυβλίς* Heringa in obs. p. 226: *καῦνος καὶ βυβλίς· ἀφ' οὗ — καρίᾳ:, καῦνος καὶ βιβλίς. κτἑ.* P, *Καῦνος καὶ Βυβλίς* [*ἀφ' οὗ — καὶ Βυβλίς.*] Od., *Καῦνος* [*καὶ Βυβλίς*], *ἀφ' οὗ — Καρίᾳ,* [*Καῦνος*] *καὶ Βυβλίς* Mu. 13 *κατὰ τῆς πέτρας* Ma., cf. praef. cap. II: *ἐκ τῆς πέτρας* P, *κατὰ πέτρας* N. 15 *ἐπεχείρησε·ν* P 16 *οἰκτειρασαι* P 17 *ἀπ' ἀνθρώπου* Mu.: *ἀπ' ἀνθρώπων* P

XXXI. Μεσσάπιοι.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων β΄.]

Λυκάονος τοῦ αὐτόχθονος ἐγένοντο παῖδες Ἰάπυξ καὶ Δαύνιος καὶ Πευκέτιος. οὗτοι λαὸν ἀθροίσαντες ἀφίκοντο τῆς Ἰταλίας παρὰ τὴν Ἀδρίαν· ἐξελάσαντες δὲ τοὺς ἐνταυθοῖ οἰκοῦντας Αὔσονας αὐτοὶ καθιδρύθησαν. (2) *ἦν δὲ τὸ πλέον αὐτοῖς τῆς στρατιᾶς ἔποικον, [Ἰλλυριοί,] ⟨οἱ⟩ Μεσσάπιοι. ἔπει⟨τα⟩ δὲ τὸν στρατὸν ἅμα καὶ τὴν γῆν ἐμέρισαν τριχῇ καὶ ὠνόμασαν ὡς ἑκάστοις ἡγεμόνος ⟨ὄνομα⟩ εἶχε Δαυνίους καὶ Πευκετίους καὶ Μεσσαπίους· ⟨καὶ⟩ τὸ μὲν ἀπὸ Τάραντος ἄχρι πρὸς τὴν ἐσχατιὰν τῆς Ἰταλίας ἐγένετο Μεσσαπίων, ἐν ᾗ πόλις ᾤκηται Βρεντέσιον, τὸ δὲ παρὰ τὴν ⟨χώραν ταύτην⟩ ἐντὸς τοῦ Τάραντος ἐγένετο Πευκετίων, ἐνδοτέρω δὲ τούτου τῆς θαλάσσης † ἐπέπλεον Δαύνιοι, τὸ δὲ σύμπαν ἔθνος ὠνόμασαν Ἰαπύγων.*

1 cf. Schn. Nicandr. p. 55 proxx. 3 cf. ad priorem fab. partem Nissen. 'Ital. Landesk.' I p. 543 sqq. 5 *ἰταλίας* P (cf. fab. XXIII § 5) *τὴν Ἀδρ.* Ma.: *τὸν Ἀδρ.* P 6 *ἐνταυθοῖ* (οἱ supra) *κοῦντας* P, *ἐνταῦθ' οἰκοῦντας* Od. 7 [*Ἰλλυριοί,*] ⟨*οἱ*⟩ *Μεσσάπιοι* Ma., *ἰλλυριοί· μεσσάπιοι* P, cuius librar. suprapos. puncto uocem *ἰλλ.* inducendam esse significauit. *Ἰλλυριοὶ Μεσσάπιοι* uel *Ἰλλυριοὶ Μεσσαπίου* (at dux ille *Μέσσαπος* audiuit cf. Strab. IX p. 621, atque Steph. Byz. s. u. *Μεσσάπιον*) uel [*Ἰλλυριοί,*] *Μεσσάπιοι* Schn. l. l., *Ἰλλυριοὶ* ⟨*καὶ*⟩ *Μεσσάπιοι* Berk., [*Ἰλλυριοί,*] ⟨*οἱ*⟩ *Μεσσάπου* Od. 8 *ἔπει⟨τα⟩* Unger. 'Theb. parad.' I p. 438: *ἐπεὶ* P 10 ⟨*ὄνομα*⟩ Buechelerus ap. Od. p. 25 11 ⟨*καὶ*⟩ Ma. 12 *ἰταλίας* P, *Ἰαπυγίας* Schn. 13 *ᾤκισται* Mu., [*ᾤκηται*] Cluuer. 'Ital. ant.' p. 1209 *τὴν* ⟨*χώραν ταύτην*⟩ Bl.: ⟨*ταύ*⟩*την* (sc. *τὴν Μεσσαπίαν*) Schn. 14 *ἐκτὸς* Berk. *Τάρ.* ⟨*θάλασσαν*⟩ *ἐγ.* Mu. 15 *τῆς θαλάσσης ἐπέπλεον* uerba uix sana cf. Schn. l. l. p. 56 not. 3, certam med. inuenire nond. contigit: *τὴν θάλασσαν ἐπ.* Berk., *τῇ θαλάσσῃ ἐπ.* Mu., *τῆς θαλάσσης ἐπιπλέοντι* Schn. l. l., *τῆς θαλ. ἐπεκράτησαν* uel *ἐφήπτοντο* Bl.

(3) *καὶ ἐγένετο ταῦτα πολὺ πρὸ τῆς Ἡρακλέους στρατείας. ἦν δὲ τοῖς τότε βίος ἀπὸ θρεμμάτων καὶ νομῆς. μυθολογοῦσιν οὖν ἐν τῇ Μεσσαπίων γῇ παρὰ τὰς λεγομένας ἱερὰς πέτρας φανῆναι νύμφας ἐπιμηλίδας χορευούσας, τοὺς δὲ παῖδας τῶν Μεσσαπίων καταλιπόντας τὰ ποίμνια καὶ θεωμένους εἰπεῖν, ὅτι βέλτιον αὐτοὶ χορεύουσιν.* (4) *οὗτος ὁ λόγος ἤλγυνε τὰς νύμφας καὶ τὸ νεῖκος ἐπὶ πλέον ἐγένετο περὶ τῆς χορείας. οἱ δὲ παῖδες, ὅτι μὲν ἦν αὐτοῖς ἅμιλλα* fol. 205s *πρὸς | δαίμονας ἠγνόουν, ἐχόρευον δ' οἷα πρὸς ὁμήλικας θνητὰς καὶ ὁ τρόπος αὐτοῖς τῆς ὀρχήσεως ἅτε ποιμένων ἄμουσος ἦν, ταῖς δὲ νύμφαις πᾶν ὅσον [ἢ] πλεῖστον ἐπέδωκεν εἰς κάλλος.* (5) *καὶ ἐπεκράτησαν χορεύουσαι τῶν παίδων καὶ ἔλεγον πρὸς αὐτοὺς τάδε· ‘ὦ κοῦροι, τὸ νεῖκος ἤρασθε πρὸς ἐπιμηλίδας νύμφας, οὐκοῦν, ὦ ἄφρονες, νικώμενοι δώσετε δίκην.’ καὶ οἱ παῖδες, ἵναπερ ἑστήκεσαν παρὰ τὸ ἱερὸν τῶν νυμφῶν, ἐγένοντο δένδρη. καὶ ἔτι νῦν ἀκούεται φωνὴ νυκτὸς ἐκ τῆς ὕλης οἷα θρηνούντων, ὁ δὲ τόπος ὀνομάζεται νυμφῶν τε καὶ παίδων.*

XXXII. Δρυόπη.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α'.]

Δρύοψ ἐγένετο Σπερχειοῦ παῖς τοῦ ποταμοῦ καὶ Πολυδώρης μιᾶς τῶν Δαναοῦ θυγατέρων. οὗτος

1 [*καὶ ἐγ. — στρατείας*] Od. 8 *ἐπὶ πλέον* Xyl.: *ἐπιπλέον* sed supra *ι* acc. grau. eras. in P, *ἐπιπλέον* West. [*περὶ τῆς χορείας*] N. 12 *π. ὅσον* [*ἢ*] *πλεῖστον* Bl.: *π. ὅσον ἢ πλεῖστον* P, *π. ὅσ. ἢ πλ.* Mu., *π. ὅσ.* ⟨*ἦν*⟩ *πλ.* Bast., *π. ὅσ. ἔπλισσον* uel *ἐπλίσσοντο* Jacobsius in eph. litt. Hal. 1806 nr. 281, *π. ὅσ. ἐπέδωκεν ἄπιστον εἰς κάλλος* idem in uers. germ. p. 129*), *π. ὅσ.* [*ἢ πλεῖστον*] Ko., *π. ὅσ.* ⟨*δ*⟩*ὴ πλεῖστον* Schn. l. l. 15 *ἤιρασθε* P 20 ⟨*ἀπὸ*⟩ *νυμφῶν* Berk. 22 cf. Schn. Nic. p. 51 de

ἐβασίλευσεν ἐν τῇ Οἴτῃ καὶ θυγάτηρ αὐτῷ μονογενὴς ἐγένετο Δρυόπη καὶ ἐποίμαινεν αὐτὴ τὰ πρόβατα τοῦ πατρός· ἐπεὶ δὲ αὐτὴν ἠγάπησαν ὑπερφυῶς ἁμαδρυάδες νύμφαι καὶ ἐποιήσαντο συμπαίκτριαν ἑαυτῶν, ἐδίδαξαν ὑμνεῖν θεοὺς καὶ χορεύειν. (2) *ταύτην ἰδὼν Ἀπόλλων χορεύουσαν ἐπεθύμησε μιχθῆναι. καὶ ἐγένετο πρῶτα μὲν κλεμμύς, ἐπεὶ δ' ἡ Δρυόπη γέλωτα μετὰ τῶν νυμφῶν καὶ παίγνιον ἐποιήσατο τὴν κλεμμὺν καὶ αὐτὴν ἐνέθετο εἰς τοὺς κόλπους, μεταβαλὼν ἀντὶ τῆς κλεμμύος ἐγένετο δράκων.* (3) *καὶ αὐτὴν κατέλιπον αἱ νύμφαι πτοηθεῖσαι· Ἀπόλλων δὲ Δρυόπῃ μίγνυται, ἡ δὲ ᾤχετο φεύγουσα περίφοβος εἰς τὰ οἰκία τοῦ πατρὸς καὶ οὐδὲν ἔφρασε πρὸς τοὺς γονεῖς. ἐπεὶ δ' ἔγημεν αὐτὴν ὕστερον Ἀνδραίμων ὁ Ὀξύλου, γεννᾷ παῖδα ἐξ Ἀπόλλωνος Ἄμφισσον.* | *οὗτος ἐπεὶ* fol. 205r *τάχιστα ἠνδρώθη, ἀνὴρ ἐγένετο πάντων κρατῶν καὶ ἔκτισε παρὰ τὴν Οἴτην πόλιν ὁμώνυμον τῷ ὄρει καὶ τῶν ἐκεῖ τόπων ἐβασίλευεν.* (4) *ἱδρύσατο δὲ καὶ Ἀπόλλωνος ἱερὸν ἐν τῇ Δρυοπίδι. καὶ εἰς τοῦτο παροῦσαν τὸ ἱερὸν Δρυόπην ἥρπασαν ἁμαδρυάδες νύμφαι κατ' εὐμένειαν καὶ αὐτὴν μὲν ἀπέκρυψαν εἰς τὴν ὕλην, ἀντὶ δ' ἐκείνης αἴγειρον ἀνέφηναν ἐκ τῆς γῆς καὶ παρὰ τὴν αἴγειρον ὕδωρ ἀνέρρηξαν, Δρυόπη δὲ μετέβαλε καὶ ἀντὶ θνητῆς ἐγένετο νύμφη.* (5) *Ἄμφισσος δὲ ἀντὶ τῆς πρὸς τὴν μητέρα χάριτος ἱερὸν ἱδρύσατο νυμφῶν καὶ πρῶτος ἀγῶνα ἐπετέλεσε δρό-*

fab. cf. Plaehn. 'de Nic.' p. 46 sqq. 3 an *ἐπεὶ — ἠγάπησαν ϑ. ἁ. ν., ἐποιήσαντο συμπ. ἑ. καὶ ἐδίδαξαν κτλ.*? Ma. 4 *συμπαίστριαν* Berk. 7 *κ̃λεμυς* (M supra) in marg. *χε̃λώνη* P, cf. Hesych. *κλεμμύς· χελώνη* 8 *κλεμμυν* P 10 *κλεμυος* P 11 *κατέλιπον* N.: *κατέλειπον* P 13 *οἰκεῖα* N. *παριοῦσαν* E. Dittrich

μου· καὶ ἔτι νῦν οἱ ἐπιχώριοι τὸν ἀγῶνα διαφυλάσσουσι τοῦτον· γυναικὶ δ' οὐχ ὅσιον παρατυχεῖν, ὅτι Δρυόπην ἀφανισθεῖσαν ὑπὸ νυμφῶν δύο παρθένοι τοῖς ἐπιχωρίοις ἐδήλωσαν, πρὸς ἃς ἐχαλέπηναν αἱ νύμφαι καὶ αὐτὰς ἀντὶ παρθένων ἐλάτας ἐποίησαν.

XXXIII. Ἀλκμήνη.

[Ἱστορεῖ Φερεκύδης.]

Μετὰ τὸν Ἡρακλέους ἐξ ἀνθρώπων ἀφανισμὸν Εὐρυσθεὺς ἐξελάσας αὐτοῦ ⟨τοὺς παῖδα⟩ς τῆς πατρίδος αὐτὸς ἐβασίλευεν. οἱ δὲ Ἡρακλεῖδαι καταφυγόντες πρὸς Δημοφῶντα τὸν Θησέως ᾤκησαν τὴν τετράπολιν τῆς Ἀττικῆς· Εὐρυσθεὺς δὲ πέμψας ἄγγελον εἰς Ἀθήνας πόλεμον προέλεγε τοῖς Ἀθηναίοις, εἰ μὴ τοὺς Ἡρακλείδας ἐξελάσωσιν. (2) *οἱ μὲν οὖν Ἀθηναῖοι τὸν πόλεμον οὐκ ἀπολέγονται, Εὐρυσθεὺς δ' ἐνέβαλεν εἰς τὴν Ἀττικὴν καὶ παραταξάμενος αὐτὸς μὲν ἀποθνήσκει μαχόμενος, ἡ δὲ πληθὺς ἐτράπη τῶν Ἀργείων. Ὕλλος δὲ καὶ οἱ ἄλλοι Ἡρακλεῖδαι καὶ ⟨οἱ⟩ σὺν αὐτοῖς*
fol. 206s *ἀποθανόντος Εὐρυσθέ | ως κατοικίζονται πάλιν ἐν Θήβαις.* (3) *ἐν δὲ τούτῳ καὶ Ἀλκμήνη κατὰ γῆρας ἀποθνήσκει καὶ αὐτὴν ἐξεκόμισαν Ἡρακλεῖδαι· ᾤκουν δὲ παρὰ τὰς Ἠλέκτρας πύλας, ὅθιπερ καὶ Ἡρακλῆς*

4 *ἐχαλέπηιναν* P 5 cf. Müller. FHG I p. 82 9 *αὐτοῦ ⟨τοὺς παῖδα⟩ς τῆς πατρίδος αὐτὸς* Ma.: *αὐτοὺς τῆς π. αὐ.* P, *αὐτοῦ τοὺς παῖδας αὐτὸς* Sturzius (Pher. rell. p. 197) et Bast., *τοὺς ἀπογόνους* uel *παῖδας αὐτοῦ* uel *τοὺς αὐτοῦ τ. π. αὐ.* Mu., *ἀστοὺς τ. π. αὐ.* Ver., *τοὺς Ἡρακλείδας αὐ.* Lennep. ad. Phal. p. 279 11 *τὸ//νθησέωσ* P 13 *προέλεγεν* P, *προὔλεγε* Od. 14 *ἐξελῶσιν* N. 18 *καὶ ⟨οἱ⟩ σὺν αὐτοῖς* Abreschius: [*καὶ*] *σὺν αὐτῷ* Mu. *παισὶν αὐτοῖς* Unger. 'Theb. parad.' I p. 151 19 *πάλιν* Abreschius: *πόλιν* P 21 [*ᾤκουν* — p. 115, 1 *ἀγορᾷ.*] Od.

ἐν τῇ πρώτῃ ὥρᾳ. Ζεὺς δὲ Ἑρμῆν πέμπει κελεύων Ἀλκμήνην ἐκκλέψαι καὶ ἀπενεγκεῖν εἰς μακάρων νήσους καὶ δοῦναι Ῥαδαμάνθυι γυναῖκα· Ἑρμῆς δὲ πεισθεὶς Ἀλκμήνην ἐκκλέπτει, λίθον δ' ἀντ' αὐτῆς ἐντίθησιν εἰς τὴν σορόν. (4) οἱ δ' Ἡρακλεῖδαι ἐπεὶ τὴν λάρνακα φέροντες ἐβαρύνοντο, κατατίθενται καὶ ἀποκαλύψαντες εὗρον ἀντὶ τῆς Ἀλκμήνης λίθον καὶ αὐτὸν ἐξελόντες ἔστησαν ἐν τῷ ἄλσει, ὅθιπέρ ἐστι τὸ ἡρῷον τὸ τῆς Ἀλκμήνης ἐν Θήβῃσιν.

XXXIV. Cμύρνα.

[Οὐ.]

Θείαντος τοῦ Βήλου καὶ Ὠρειθυίας μιᾶς τῶν νυμφῶν ἐγένετο θυγάτηρ ἐν τῷ ὄρει τῷ Λιβάνῳ Σμύρνα. ταύτην διὰ κάλλος πλεῖστοι καὶ ἐκ πόλεων πλείστων ἐμνήστευον, ἡ δὲ πολλὰ ἐμηχανᾶτο πρὸς ἀπάτην τῶν γονέων καὶ ἀνάθεσιν τοῦ γάμου· δεινὸς γὰρ αὐτὴν ἔρως ἐξέμηνεν ἐπὶ τῷ πατρί. (2) καὶ κατὰ μὲν ἀρχὰς δι' αἰδῶ κατέκρυπτε τὴν νόσον· ἐπεὶ δὲ τὸ πάθος αὐτὴν προῆγεν, ἐξεῖπε τὸν λόγον πρὸς Ἱππολύτην τὴν τροφόν· ἡ δὲ παραδώσειν αὐτῇ ἄκος τοῦ παραλόγου πάθους ὑποσχομένη λόγον πρὸς τὸν Θείαντα προσέφερεν, ὅτι αὐτῷ κόρη μακαρίων ἀνθρώπων ποθεῖ

1 *ἐν τῇ πρώτῃ ὥρᾳ* C. Wachsmuth.: *ἐν τῆι ἀγορᾶι* P quam lectionem ex male intellecto compendio (*α′ = πρώτῃ*) subnatam esse censet W. 6 lineola obliqua in marg. P 9 *ἐν Θήβῃσιν* Bast. et Lütke. 'Pherecydea' 1893 p. 13: *θήβ////* in hac rasura olim fuere haec: : ℧ : ◊ prius signum *ν* est; alterum quid sit ignoro, certo non est *ν*; uolgo *ἐν Θήβαις* 10 cf. Apollod. Bibl. III 183 p. 159, 6 sqq. Wagn. 11 in marg. P exst. signum $\overset{\Upsilon}{o}$. fabulam ad Nic. reu. Kalkmann. 'de Hippolytis Euripid. qu. nou.' 1882 p. 83 12 *ὠρειθυίας* P 15 *ἐμηχανᾶ'το* P 16 *τοῦ γάμου* N. in Mél. Gr.-Rom. II 482: *τοῦ χρόνου* P 17 *ἐξέμη'νεν* P 18 *αἰδὼ* P

παραγενέσθαι κρυφαῖος εἰς τὴν κοίτην. (3) *ὁ δὲ Θείας — οὐ γὰρ ἐγίνωσκεν οἷα ἐπʼ αὐτῷ ἐμηχανᾶτο — κατῄνεσε τὸν λόγον. καὶ ὁ μὲν ἐν τῷ οἴκῳ σκοταῖος ἐπὶ τῆς στρωμνῆς ἐξεδέχετο τὴν κόρην, ἡ δὲ τροφὸς* fol. 206r *κατακρύψασα τῇ ἐσθῆτι | τὴν Σμύρναν παρήγαγεν. καὶ πλείονα χρόνον ἐλελήθει πρασσόμενον ἄχαρι καὶ ἄθεσμον ἔργον.* (4) *καὶ ὡς ἐκύησε μὲν ἡ Σμύρνα, Θείαντα δὲ πόθος ἔλαβεν ἐκμαθεῖν ἥτις ἦν ἡ κύουσα,* [*καὶ*] *ὁ μὲν κατέκρυψε πῦρ εἰς τὸν οἶκον, Σμύρνα δʼ ὡς ἐξίκετο πρὸς αὐτόν, ἐπάϊστος ἐγένετο προενεχθέντος ἐξαπίνης τοῦ πυρὸς καὶ τὸ βρέφος μὲν ἐξέβαλεν ἐκ τῆς γαστρός, αὐτὴ δʼ ἀνασχοῦσα τὰς χεῖρας ηὔξατο μήτε παρὰ ζῶσι μήτʼ ἐν νεκροῖς φανῆναι.* (5) *καὶ αὐτὴν ὁ Ζεὺς μεταβαλὼν ἐποίησε δένδρον καὶ ἐκάλεσεν ὁμώνυμον αὐτῇ σμύρναν. τοῦτο λέγεται κατʼ ἔτος ἕκαστον δακρύειν τὸν ἀπὸ τοῦ ξύλου καρπόν. καὶ Θείας μὲν ὁ πατὴρ τῆς Σμύρνης διὰ ἔργον ἀθέμιστον ἑαυτὸν ἀνεῖλε, τὸ δὲ βρέφος Διὸς βουλῇ τρεφόμενον ὠνόμασαν Ἄδωνιν καὶ αὐτὸν Ἀφροδίτη πλεῖστον ἠγάπησε διὰ τὸ κάλλος.*

4 *τη στρωμνῆσ* P 6 *πρασσόμενος* Mu. 7 *ἐκύησε* ex *ἐκύλισε* corr. in P 8 *ἡ ἤκουσα* Jacobs. in uers. germ. p. 133, *ἡ φιλοῦσα* (cl. Ou. Met. X 472) Ma. in Phil. N. S. uol. I p. 761 9 [*καὶ*] West. secutus libr. P qui utpote delendum *καὶ* puncto ornauit 10 *προσενεχθέντος* Mu. 12 *αὐτὴ* West.: *αὕτη* P 13 duabus litterulis additis tenes praeclarum uers. her.: ʻ*μήτε παρὰ ζῶσιν μήτʼ ἐν νεκροῖσι φανῆναι*ʼ. ergo compil. in hac quoque fab. enarr. poetam aliquem sequitur. cet. cf. cum hoc uersu **Ou. Met. X 485 et 486** 17 *διʼ ἔργον* Od. 19 *ὠ* ÷ ÷ *νόμασαν* P *ἄδωνιν* P

XXXV. Βουκόλοι.

[Ἱστορεῖ Μενεκράτης ⟨ὁ⟩ Ξάνθιος Λυκιακοῖς καὶ Νίκανδρος.]

Λητὼ ἐπεὶ ἔτεκεν Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐν Ἀστερίᾳ τῇ νήσῳ, ἀφίκετο εἰς Λυκίαν ἐπιφερομένη τοὺς παῖδας ἐπὶ τὰ λουτρὰ τοῦ Ξάνθου· καὶ ἐπεὶ τάχιστα ἐγένετο ἐν τῇ γῇ ταύτῃ, ἐνέτυχε πρῶτα Μελίτῃ κρήνῃ καὶ προεθυμεῖτο πρὶν ἐπὶ τὸν Ξάνθον ἐλθεῖν ἐνταυθοῖ τοὺς παῖδας ἀπολοῦσαι. (2) ἐπεὶ δ' αὐτὴν ἐξήλασαν ἄνδρες βουκόλοι, ὅπως ἂν αὐτοῖς οἱ βόες ἐκ τῆς κρήνης πίωσιν, ἀπαλλάττεται καταλιποῦσα τὴν Μελίτην ἡ Λητώ, λύκοι δὲ συναντόμενοι καὶ σήναντες ὑφηγήσαντο τῆς ὁδοῦ καὶ ἀπήγαγον ἄχρι πρὸς τὸν ποταμὸν αὐτὴν τὸν Ξάνθον. (3) ἡ δὲ πιοῦσα τοῦ ὕδατος καὶ ἀπολούσασα τοὺς παῖδας τὸν μὲν Ξάνθον ἱερὸν ἀπέδειξεν Ἀπόλλωνος, τὴν δὲ γῆν Τρεμιλίδα λεγομένην Λυκίαν μετωνόμασεν ἀπὸ τῶν καθηγησαμένων λύκων. (4) ἐπὶ δὲ τὴν κρήνην αὖτις | ἐξίκετο δίκην ἐπιβαλοῦσα τοῖς ἀπε- fol. 207 s *λάσασιν αὐτὴν βουκόλοις· καὶ οἱ μὲν ἀπέλουον τότε παρὰ τὴν κρήνην τοὺς βοῦς, Λητὼ δὲ μεταβαλοῦσα πάντας ἐποίησε βατράχους καὶ λίθῳ τραχεῖ τύπτουσα τὰ νῶτα καὶ τοὺς ὤμους κατέβαλε πάντας εἰς τὴν κρήνην καὶ βίον ἔδωκεν αὐτοῖς καθ' ὕδατος· οἱ δ' ἄχρι νῦν παρὰ ποταμοὺς βοῶσι καὶ λίμνας.*

2 *M.* ⟨ὁ⟩ *Ξ.* Ma., cf. Müller. Frg. Hist. Gr. II p. 343 11 *συναντώμενοι* Jensius lect. Lucian. I p. 7 *σή'ναντες* P 15 *Τρεμιλίδα* Berk. cf. **Steph. Byz.** s. v. *Τρεμίλη* et Meineckii anal. crit. ad Athen. p. 189 sq.: *Τριμιλίδα* P 17 in marg. P haec leguntur (litt. mai. ex.): *πόθεν τῆι λυκία⟨ι⟩ χῶραι τὸ ὄνομα* 18 *ἀπέλουον τότε* egregie Od.: *ἀπελούοντο ἔτι* P, *ἀπέλουον[το] ἔτι* N.

XXXVI. Πανδάρεος.

[Οὐ.]

Ἡνίκα Ῥέα φοβουμένη Κρόνον κατέκρυψεν ἐν τῷ κευθμῶνι τῆς Κρήτης τὸν Δία, τότε αὐτὸν ἐξέθρεψεν αἲξ [νύμφη] μαστὸν ὀρέγουσα. τὴν αἶγα δὲ Ῥέας βουλῇ κύων χρύσεος ἐφύλαττεν. (2) ἐπεὶ δὲ Ζεὺς Τιτῆνας ἐξελάσας τὸν Κρόνον ἀφείλετο τῆς ἀρχῆς, ἐποίησε τὴν μὲν αἶγα μεταβαλὼν ἀθάνατον· καὶ αὐτῆς ἔτι νῦν εἴδωλόν ἐστιν ἐν τοῖς ἄστροις· τὸν δὲ κύνα τὸν χρύσεον ἀπέδειξε φυλάττειν τὸ ἱερὸν ἐν Κρήτῃ. τοῦτον Πανδάρεος ὁ Μέροπος κλέψας ᾤχετο φέρων εἰς Σίπυλον καὶ αὐτὸν παρεδέξατο φυλάττειν παρὰ τοῦ Πανδαρέου Τάνταλος ὁ Διὸς καὶ Πλουτοῦς. (3) ἐπεὶ δὲ μετὰ χρόνον Πανδάρεος ἐλθὼν εἰς Σίπυλον ἀπήτει τὸν κύνα, Τάνταλος ὤμοσε μὴ λαβεῖν. Ζεὺς δὲ Πανδάρεον μὲν ἀντὶ τῆς κλοπῆς ἐποίησεν ὅθιπερ εἱστήκει πέτρον, Τάνταλον δὲ ἐπεὶ τὸν ὅρκον ἐψεύσατο, κατέβαλε καὶ περὶ αὐτὸν ὑπὲρ κεφαλῆς τὸν Σίπυλον.

XXXVII. Δωριεῖς.

[Οὐ.]

Διομήδης μετὰ τὴν ἅλωσιν Ἰλίου παραγενόμενος εἰς Ἄργος Αἰγιάλειαν μὲν ἐμέμψατο τὴν γυναῖκα τὴν

1 *Πανδάρεως* N. 2 in marg. P $\overset{T}{o}$ 5 *αἲξ* [*νύμφη*] Bl. cf. Od. p. 52 not. 8, *αἲξ νύμφη* P, *Αἲξ νύμφη* Ko., sed cf. **Schol. Arati u. 161** (Nic. fr. 114 inc. sed. Schn.) 5 et 8 *Αἶγα* Ko. 7 *Τιτᾶνας* Berk. 11 et 14 *Πανδάρεως* N. cf. ad rem **schol. ad Odyss. XIX 518 et schol. ad Pindari Ol. I 90** 13 *Πανδάρεω* N. 15 *Πανδάρεων* N. 18 *καὶ ἐπῃώρει αὐτῷ ὑπὲρ κεφ.* Koen. ad Greg. p. 40, *κ. ἔρριψε αὐτοῦ ὑπὲρ κεφ.* Mehler in Mnemos. N. S. VI, p. 401, *κ. αὐτοῦ ὑπὲρ κεφ.* Ma. in Philol. N. S. I p. 762 [*καὶ*] *περιαρτῶν* E. Dittrich 20 in marg. P $\overset{T}{o}$, ad rem uide Geffcken. 'Timaeus Geogr. des Westens' Berol. 1893 p. 5

ἑαυτοῦ χάριν ἔργων Ἀφροδίτης, αὐτὸς δ' εἰς Καλυδῶνα τῆς Αἰτωλίας ἀφίκετο καὶ ἀνελὼν Ἄγριον καὶ τοὺς παῖδας Οἰνεῖ τῷ προπάτορι τὴν βασιλείαν ἀποδίδωσιν. (2) *αὖτις δὲ πλέων εἰς Ἄργος ὑπὸ χειμῶνος εἰς τὸν Ἰόνιον ἐκφέρεται πόντον. ἐπεὶ δὲ παραγενόμε | νον αὐτὸν ἔγνω Δαύνιος ὁ βασιλεὺς ὁ τῶν Δαυνίων*, [ed. Xyl. p. 47 med.] *ἐδεήθη τὸν πόλεμον αὐτῷ συμπολεμῆσαι πρὸς Μεσσαπίους ἐπὶ μέρει γῆς καὶ γάμῳ θυγατρὸς τῆς ἑαυτοῦ.* (3) *καὶ Διομήδης ὑποδέχεται τὸν λόγον. ἐπεὶ δὲ παραταξάμενος ἐτρέψατο τοὺς Μεσσαπίους καὶ ἔλαβε τὴν γῆν, ταύτην μὲν Δωριεῦσιν ἔνειμε τοῖς σὺν αὐτῷ· δύο δὲ παῖδας ἐκ τῆς θυγατρὸς ἔσχε τῆς Δαυνίου, Διομήδη καὶ Ἀμφίνομον.* (4) *τελευτήσαντα δ' αὐτὸν κατὰ γῆρας ἐν Δαυνίοις ἐκτέρισαν | οἱ Δωριεῖς* [ed. Xyl. p. 48] *ἐν τῇ νήσῳ καὶ ὠνόμασαν αὐτὴν Διομήδειαν, αὐτοὶ δ' ἐγεώργουν ἣν ἐδέξαντο παρὰ τοῦ βασιλέως γῆν καὶ αὐτοῖς ἐξέφερε πλεῖστον καρπὸν κατ' ἐμπειρίαν γεωργικῶν ἔργων.* (5) *Δαυνίου δ' ἀποθανόντος ἐπεβούλευσαν Ἰλλυριοὶ βάρβαροι κατὰ φθόνον αὐτῶν τῆς γῆς καὶ ἀνεῖλον ἐν τῇ νήσῳ πάντας ἔντομα θύοντας ἐπιφανέντες οἱ Ἰλλυριοὶ τοὺς Δωριεῖς· Διὸς δὲ βουλῇ τὰ σώματα μὲν ἠφανίσθη τῶν Ἑλλήνων, αἱ ψυχαὶ δὲ μετέβαλον εἰς ὄρνιθας.* (6) *καὶ ἔτι νῦν Ἑλληνικὴ μὲν ἐπὰν καθορμίζηται ναῦς, φοιτῶσι πρὸς αὐτοὺς οἱ*

proxx. ceterum fab. Nicandro uindicat Od. p. 54 5 in uoce *παραγενόμε | νον* desinit P. excidit unum folium (non duo ut tradit West.) [*ὁ*] *τῶν* N. 9 *ἀποδέχεται* N. 11 *ἔνειμεν* Xyl. (P) 12 *αὐτῷ·* ⟨*αὐτὸς δὲ τὴν Δαυνίου γήμας νῆσον πλησίον κειμένην ᾤκησεν.*⟩ Od. 16 *ἐδέξαντο* Od.: *ἐδάσαντο* Xyl. (P) 20 *ἐντομαθύοντας* Xyl, (P ?) *καὶ ἐπιφανέντες ἀνεῖλον ἐν τῇ νήσῳ πάντας ἔντομα θύοντας* [*οἱ Ἰλλυριοὶ τοὺς Δωριεῖς*] Fonteinius 21 *ὅτι Ἰλλ.* Xyl. (nim. error. typ.) 24 *καθορμίζηται* Doruill. ad Char. p. 118: *καθορμίσηται* Xyl. (P)

ὄρνιθες, Ἰλλυρικὴν δὲ φεύγουσι ναῦν καὶ ἀφανίζονται πάντες ἐκ τῆς νήσου.

XXXVIII. Λύκος.

[Ἱστορεῖ Νίκανδρος ἑτεροιουμένων α΄.]

Αἰακῷ τῷ Διὸς καὶ Αἰγίνης τῆς Ἀσωποῦ παῖδες ἐγένοντο Τελαμὼν καὶ Πηλεὺς καὶ τρίτος Φῶκος ἐκ Ψαμάθης τῆς Νηρέως. τοῦτον ἐφίλησε περισσῶς Αἰακός, ὅτι καλὸς κἀγαθὸς ἦν ἀνήρ. (2) *Πηλεὺς δὲ καὶ Τελαμὼν φθονήσαντες αὐτῷ κτείνουσι θανάτῳ κρυφαίῳ καὶ διὰ τοῦτ' ἐξελαθέντες ὑπ' Αἰακοῦ τὴν Αἴγιναν ἐξέλιπον. ᾤκησε δὲ Τελαμὼν μὲν Σαλαμῖνα τὴν νῆσον, Πηλεὺς δ' ἐξίκετο πρὸς Εὐρυτίωνα τὸν Ἶρου καὶ ἱκετεύσας καθαίρεται παρ' αὐτῷ τὸν φόνον· καὶ αὖτις Εὐρυτίωνα ἐν κυνηγεσίοις ἄκων ἐπὶ συὸς βολῇ κτείνει·* (3) *καὶ φυγὼν ἔρχεται παρὰ Ἄκαστον,* | ed. Xyl. p. 49 *οὗ ὑπὸ τῆς γυναικὸς πρὸς ἀφροδίσιον ἔργον ⟨διαβληθεὶς⟩ καταλείπεται μόνος ἐν τῷ Πηλίῳ. καὶ πλαζόμενος ἐντυγχάνει Χείρωνι τῷ Κενταύρῳ, ἱκετεύοντα δὲ αὐτὸν ὑποδέχεται ἐκεῖνος εἰς τὸ ἄντρον.* (4) *καὶ Πηλεὺς ἀγείρας πολλὰ πρόβατα καὶ βοῦς ἄγει πρὸς τὸν Ἶρον κατὰ ποινὴν τοῦ φόνου. ταύτην οὐχ ὑποδέχεται τὴν ποινὴν ὁ Ἶρος, ἀλλὰ Πηλεὺς ἀπαγαγὼν ἀφίησι κατὰ χρησμὸν θεοῦ.* (5) *καὶ τὰ πρόβατα νομέων ἔρημα λύκος ἐπελθὼν κατέδει καὶ ὁ λύκος οὗτος κατὰ δαίμονα μεταβαλὼν ἐγένετο πέτρος καὶ ἄχρι πλείστου διέμενε μεταξὺ Λοκρίδος καὶ τῆς Φωκέων γῆς.*

4 cf. Schn. Nic. p. 51, ad rem cf. Plaehn. 'de Nic.' p. 33 11 *ἐξέλιπον* N.: *ἐξέλειπον* Xyl. (P) 13 *παρ' αὐτοῦ* Mu. 15 *παρ' Ἄκαστον* Od. 16 *ὑπὸ τ. γ. — ἔρ.* ⟨*διαβληθεὶς*⟩ Schn. l. l.: *παρὰ γ.* ⟨*διαβληθεὶς*⟩ *π. ἀρ. ἔρ.* Mu. 18 *Χείρονι* Xyl. (P) 21 *ἀποδέχεται* N. 23 *ἀφίησιν* Xyl. (P)

XXXIX. Ἀρκεοφῶν.

[Ἱστορεῖ Ἑρμησιάναξ Λεοντίου β′.]

Ἀρκεοφῶν ὁ Μιννυρίδου πόλεως μὲν ἦν Σαλαμῖνος τῆς ἐν Κύπρῳ, γονέων δὲ οὐκ ἐπιφανῶν (ἦσαν γὰρ ἐκ Φοινίκης), χρήμασι δὲ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ πλεῖστον ὑπερήνεγκεν. οὗτος ἰδὼν τὴν θυγατέρα τὴν Νικοκρέοντος τοῦ Σαλαμινίων βασιλέως ἠράσθη. (2) *γένος δ᾽ ἦν τὸ Νικοκρέοντος ἀπὸ Τεύκρου τοῦ ξυνελόντος Ἴλιον Ἀγαμέμνονι, παρ᾽ ὃ καὶ μᾶλλον ὁ Ἀρκεοφῶν ἐφίετο τοῦ γάμου τῆς παιδός, καὶ ὑπέσχετο πλεῖστα παρὰ τοὺς ἄλλους μνηστῆρας ἀποίσειν ἕδνα. Νικοκρέων δ᾽ οὐχ ὑποδέχεται τὸν γάμον κατ᾽ αἰσχύνην γένους τοῦ Ἀρκεοφῶντος, ὅτι αὐτῷ πατέρες ἦσαν Φοίνικες.* (3) *Ἀρκεοφῶντι δ᾽ ἀποτυγχα | νομένῳ πρὸς* ed. Xyl. p. 50 *τὸν γάμον πολὺ χαλεπώτερος ἦν ὁ ἔρως καὶ νυκτὸς ἐπὶ τὰ οἰκία τῆς Ἀρσινόης ἐφοίτα καὶ διενυκτέρευσε μετὰ τῶν ἡλικιωτῶν. ἐπεὶ δὲ αὐτῷ πρὸς τὸ ἔργον οὐδὲν ἐτυγχάνετο, πείθει τροφὸν αὐτῆς καὶ πλεῖ | στα* cod. Pal. fol. 207r *δῶρα πέμψας ἐπειράθη τῆς παιδός, εἴ πως αὐτῇ δύναιτο κρύφα μιχθῆναι τῶν γονέων.* (4) *ἡ δὲ παῖς, ἐπεὶ τὸν λόγον ἡ τροφὸς αὐτῇ προσήνεγκε, κατεμήνυσε*

2 cf. Bach. 'Philet. Hermesian. al. rell.' p. 113 sqq. fab. sim. de Iphi et Anaxarete refert **Ouid. Met. XIV 698** proxx. *Λεοντίου* Od.: *Λεοντίῳ* Xyl. (P) 6 an *πλείστων*? Ma. 8 *τὸ Νικοκρέοντος* Od.: *τὸ* (= *τὸν*) *Νικ.* Xyl. (fort. error. typ. pro *τὸ Νικ.*); *τοῦ Νικ.* Berk. 12 *ἀποδέχεται* N. 13 [*ὅτι* — (14) *Φοίνικες*] N. 14 *ἀποτυγχάνοντι πρὸς* uel *ἀποτυγχάνοντι τῶν πρὸς* Io. Th. Schneider. [*πρὸς τὸν γάμον*] N. 16 *οἰκεῖα* N. 17 *πρ. τὸν γάμον οὐδὲν ἐπεραίνετο* N., ⟨*τῶν*⟩ *πρ. τὸ ἔργον οὐ.* ⟨*ἐπ*⟩*ετυγχάνετο* Io. Th. Schneider., *πρ. τὸ ἔ. οὐ.* ⟨*ἐπ*⟩*ετυγχάνετο* uel *ἐτύγχανεν* Od. 18 *αὐτῆς* Valckenaerius: *ἑαυτοῦ* Xyl. (P) *πλεῖ* | *στα* litteris *στα* rursus inc. P 19 *αὐτῇ* Piersonus ad Moer. p. 310: *αὐτῶι* P

πρὸς τοὺς γονέας· οἱ δὲ γλῶσσαν ἄκραν καὶ ῥῖνα καὶ δακτύλους ἀποτεμόντες τῆς τροφοῦ καὶ λωβησάμενοι ἀνοίκτρως ἐξήλασαν ἐκ τῶν οἰκίων. καὶ πρὸς τὸ ἔργον ἐνεμέσησεν ἡ θεός. (5) *Ἀρκεοφῶν μὲν οὖν καθ' ὑπερβολὴν πάθους καὶ ἀπορίαν τὴν πρὸς τὸν γάμον ἑκὼν ἀποθνήσκει κατὰ τροφῆς ἔνδειαν· οἱ δὲ πολῖται τὸν θάνατον οἰκτείραντες ἐπένθησαν, ἡμέρᾳ δὲ τρίτῃ τὸ σῶμα προήνεγκαν εἰς ἐμφανὲς οἱ προσήκοντες.* (6) *καὶ οἱ μὲν ἔμελλον κηδεύσειν, Ἀρσινόη δὲ πρὸς ὕβριν ἐπεθύμησεν ἐκ τῶν οἴκων ἐκκύψασα τὸ σῶμα τὸ τοῦ Ἀρκεοφῶντος κατακαιόμενον ἰδεῖν. καὶ ἡ μὲν ἐθεᾶτο, μισήσασα δὲ τὸ ἦθος Ἀφροδίτη μετέβαλεν αὐτὴν καὶ ἐποίησεν ἐξ ἀνθρώπου λίθον καὶ τοὺς πόδας ἐρρίζωσεν ἐπὶ τὴν γῆν.*

XL. Βριτόμαρτις.

Κασσιεπείας τῆς Ἀραβίου καὶ Φοίνικος τοῦ Ἀγήνορος ἐγένετο Κάρμη· ταύτῃ μιγεὶς Ζεὺς ἐγέννησε Βριτόμαρτιν. αὕτη φυγοῦσα τὴν ὁμιλίαν τῶν ἀνθρώπων ἠγάπησεν ἀεὶ παρθένος εἶναι. (2) *καὶ παρεγένετο πρῶτα μὲν ἐπ Ἄργος ἐκ Φοινίκης παρὰ τὰς Ἐρασίνου θυγατέρας Βύζην καὶ Μελίτην καὶ Μαῖραν καὶ Ἀγχιρόην, ἔπειτα δ' ἐκ τοῦ Ἄργους εἰς Κεφαλληνίαν ἀνέβη καὶ αὐτὴν ὠνόμασαν οἱ Κεφαλλῆνες Λαφρίαν καὶ ἱερὰ ἤγαγον ὡς θεῷ.* (3) *ἔπειτα ἔρχεται εἰς Κρή-*

3 *ἀνοικτρῶς* P, *ἀνοίκτως* L. Dindorfius in Thes. Gr. l. s. u. *ἄνοικτρος* *οἰκιῶν* P 5 *ἀπορίαν* Ma. (cf. fab. XII § 6): *ὑποψίαν* P, *ὑπεροψίαν* Mu., *ἀποτυχίαν* Jacobs. in add. animadu. in Ath. p. 81 15 cf. Schn. Nic. p. 69 sqq., qui fab. ad Nic. refert. ad rem uide **Paus. II 30, 3** 21 *Μαίραν* P 22 malim *Ἀγχινόην* cf. Wagn. ad Apoll. p. 53, 13 24 *ἱερὰ ἤγ.* Ma., *ἵρον ἤγ.* (adpicta ad marg. lineola) P, *ἶρον ἤγ.* Xyl., *ἱρὸν ἤγ.*

την καὶ αὐτὴν ἰδὼν Μίνως καὶ ἐρασθεὶς ἐδίωκεν· ἡ δὲ κατέφυγε παρ ἄνδρας ἁλιέας· οἱ δὲ αὐτὴν κατέδυσαν εἰς τὰ δίκτυα καὶ ὠνό | μασαν ἐκ τούτου Κρῆτες fol. 208a *Δίκτυνναν καὶ ἱερὰ προσήνεγκαν. ἐκφυγοῦσα δὲ Μίνωα ἐξίκετο ἡ Βριτόμαρτις εἰς Αἴγιναν ἐν πλοίῳ σὺν ἀνδρὶ ἁλιεῖ Ἀνδρομήδει.* (4) *καὶ ὁ μὲν αὐτῇ ἐνεχείρησεν ὀρεγόμενος μιχθῆναι, ἡ δὲ Βριτόμαρτις ἀποβᾶσα ἐκ τοῦ πλοίου κατέφυγεν εἰς ἄλσος, ὅθιπέρ ἐστι ⟨ἔτι⟩ νῦν αὐτῆς τὸ ἱερόν, κἀνταῦθα ἐγένετο ἀφανής [καὶ ὠνόμασαν αὐτὴν Ἀφαίαν]· ἐν δὲ τῷ ἱερῷ τῆς Ἀρτέμιδος ⟨ἀντὶ τοῦ σώματος ἐφάνη ξόανον⟩. τὸν δὲ τόπον, ἐν ᾧ ἀφανὴς ἐγένετο ἡ Βριτόμαρτις, ἀφιέρωσαν Αἰγινῆται καὶ ⟨αὐτὴν⟩ ὠνόμασαν Ἀφαίαν καὶ ἱερὰ ἐπετέλεσαν ὡς θεῷ.*

XLI. Ἀλώπηξ.

Κέφαλος ὁ Δηίονος ἔγημεν ἐν Θορικῷ τῆς Ἀττικῆς Πρόκριν τὴν θυγατέρα τὴν Ἐρεχθέως. ἦν δὲ ὁ Κέφαλος νέος καὶ καλὸς καὶ ἀνδρεῖος· ἐρασθεῖσα δὲ διὰ τὸ κάλλος ἥρπασεν αὐτὸν Ἠὼς καὶ ἐποιήσατο σύνοικον * * * * * * * * * * * * (2) *τότε οὖν ὁ Κέφαλος*

Ver., *ἱερὸν ἤγ.* Od., *ἱεροῖς ἤγαλλον* Ruhnkenius 2 *οἱ δὲ* P 6 *ἁλιεῖ* -:- -:- *ἀνδρ.* P *ἐνεχείρησεν* Ver., *ἐνεχείρισεν* P 8 ⟨*ἔτι*⟩ Ma. in Philol. N. S. I p. 760 9 [*καὶ* — (10) *Ἀφαίαν*] Ma. 10 *Ἀφαίαν* Schn. (cf. Hesych. s. u. *Ἀφαία* et Pausan. l. l.), *ἀφαιαν* P, *ἄφαιαν* index II (sub *μ*) 11 ⟨*ἀντὶ τοῦ σώματος ἐφάνη ξόανον.*⟩ *τὸν δὲ τόπον* Ma., *τὸν δε τόπον* P, ⟨*κατὰ τὸν αὐτὸν χρόνον ἐφάνη ξόανον. καὶ τὸ ξόανον τοῦτο*⟩ *τόν τε τόπον* Schn., *τόνδε* uel *τὸν τόπον* Mu., conf. cet. de hoc loco Schn. Nic. p. 70 not. 1 13 ⟨*αὐτὴν*⟩ Ma. *Ἀφαίαν* Schn., *ὠ.* — *ἀφάην* P, *Ἀφαίας* (sc. *τόπον* uel *ἱερὸν*) Ver. *ἱερὰ* (ε supra) P 16 *δηΐονοσ* P olim supra ϊ acc. erat, qui tamen nunc erasus est *θορικωι* P 19 *ήὼς* P post uocem *σύνοικον* lacunam esse primus peruidit Jacobsius in uers. germ.

ἐπειρᾶτο τῆς Πρόκριδος, εἰ συμμένειν ἀδιάφορος αὐτῷ ἐθελήσαι. καὶ αὐτὸς μὲν καθ' ἥντινα πρόφασιν ἐσκήψατο εἰς θήρας ἴεναι, Πρόκριδι δὲ εἰσαπέστελλεν ἄνδρα οἰκιήτην ἀγνῶτα φέροντα χρυσὸν πολὺν καὶ αὐτὸν ἐδίδασκε λέγειν πρὸς τὴν Πρόκριν, ὅτι ἀνὴρ ξένος ἐρασθεὶς διδοῖ τοῦτο τὸ χρυσίον, εἰ αὐτῷ συγγένοιτο. (3) ἡ δὲ Πρόκρις τὸ μὲν πρῶτον ἀπολέγεται τὸν χρυσόν, ἐπεὶ δὲ διπλάσιον εἰσέπεμψεν, ὁμολογεῖ καὶ προσδέχεται τὸν λόγον. ὁ δὲ Κέφαλος ὅτι αὐτὴν ἔγνω παρελθοῦσαν εἰς τὸν οἶκον καὶ κατακλινεῖσαν ὡς παρὰ τὸν ξένον, δᾷδα καιομένην παρήνεγκε καὶ κατεφώρασεν αὐτήν. (4) Πρόκρις δὲ καταλιποῦσα τὸν Κέφαλον ὑπ' αἰσχύνης ᾤχετο φεύγουσα παρὰ Μίνωα τὸν βασι-
fol 208r λέα τῶν Κρητῶν. καταλαβοῦ | σα δ' αὐτὸν ἐχόμενον ὑπ' ἀτεκνίας ὑπισχνεῖτο ⟨θεραπεύσειν⟩ καὶ ἐδίδασκε τὸν τρόπον αὐτῷ, ᾧ γένοιντο παῖδες. ὁ γὰρ Μίνως

p. 141 not.*). Ad hanc lacunam explendam adhiberi potest **Hyg. fab. 189.** Tentauit Oderus: ⟨*πόθῳ δὲ τῆς γυναικὸς ἐχόμενον ἀφῆκεν Ἠώς, τὴν Πρόκριν μὴ πιστὴν εἶναι λέγουσα*⟩ coll. **Ou. Met. VII 710 sqq.** 2 *ἐθελῆσαι* P (cf. infra § 6), *ἐθελήσειε* N. *ἐσκέψατο* Mu. 3 *εἰς θήραν* nescio quis, sed cf. Bl. p. 6 *πρόκριδι* P, sed olim fuerat *προκρίδι* *εισάπέστελλεν* P, fort. librar. praep. *εἰς* deleri uoluit: *εἰσαπέστειλεν*
ιή
Mu. 4 *οἰκιήτην* Bast.: *οἰκέτην* P, uolgo *οἰκέτην* 7 *ἀναίνεται* N. (sed cf. fab. XXXIII § 2 et Plut. Sol. 12) 8 *ὁμολογεῖ — καὶ* P *ἀποδέχεται* N. 10 *παρ. εἰς τὴν κοίτην* Ma. (conl. fab. XXXIV § 2: *ποθεῖ παραγενέσθαι — εἰς τὴν κοίτην*) 11 *δα'ιδα* (inter *α* et *δ* ras.) P *παρήνεγκεν* P 15 ⟨*θεραπεύσειν*⟩ Ma., ⟨*παύσειν*⟩ Bl., ⟨*διδάσκειν*⟩ Bast., ⟨*τέκνα*⟩ Jacobsius in ephem. litter. Hal. 1806 n. 281 16 in marg. P litt. minusc. exarata haec reperiuntur uerba: *ɣ̇ εἰ γένοιντο παῖδες. ὁ γὰρ Μίνως οὔρεσκεν* quae Xyl. uitiose post *σκολοπένδρας* inseruit, supra quam uocem dilucide rasura conspicitur, in qua olim fuit signum *ɣ̇*. idem signum erasum uidetur supra *ι* uocabuli *αὐτῶι*, post quod procul dubio Salmasio Bastioque auctoribus inserenda, quae in marg. P leguntur.

οὔρεσκεν ὄφεις καὶ σκορπίους καὶ σκολοπένδρας καὶ ἀπέθνησκον αἱ γυναῖκες ὅσαις ἐμίγνυτο. (5) *Πασιφάη δ' ἡ Ἡλίου θυγάτηρ ἀθάνατος ⟨ἦν⟩. ἡ γ' οὖν Πρόκρις ἐπὶ τῇ γονῇ Μίνωος μηχανᾶται τοιόνδε· κύστιν αἰγὸς ἐνέβαλεν εἰς γυναικὸς φύσιν καὶ ὁ Μίνως τοὺς ὄφεις πρότερον ἐξέκρινεν εἰς τὴν κύστιν, ἔπειτα δὲ παρὰ τὴν Πασιφάην εἰσιὼν ἐμίγνυτο. καὶ ἐπεὶ αὐτοῖς ἐγένοντο παῖδες, ὁ Μίνως διδοῖ τῇ Πρόκριδι τὸν ἄκοντα καὶ τὸν κύνα· τούτους δὲ οὐδὲν ἐξέφυγε θηρίον, ἀλλὰ πάντα ἐχειροῦντο.* (6) *καὶ ἡ Πρόκρις δεξαμένη ἀφίκετο εἰς Θορικὸν τῆς Ἀττικῆς, ὅπου ᾤκει ὁ Κέφαλος, καὶ σὺν αὐτῷ ἐκυνηγέτει ἐξαλλάξασα τὴν ἐσθῆτα καὶ τὴν κουρὰν τῆς κεφαλῆς εἰς ἄνδρα καὶ οὐδεὶς αὐτὴν ἰδὼν ἐγνώρισεν. Κέφαλος δὲ ἰδὼν ὅτι αὐτῷ μὲν οὐδὲν ἐπετύγχανε τῶν πρὸς τὴν θήραν, ἅπαντα δὲ συνέφερε πρὸς τὴν Πρόκριν, ἐπεθύμησεν αὐτὸς τὸν ἄκοντα τοῦτον λαβεῖν. καὶ ⟨τὸν κύνα Πρόκρις⟩ προσυπέσχετο δώσειν, εἰ αὐτῇ τῆς ὥρας ἐθελήσαι τῆς ἑαυτοῦ χαρίσασθαι.* (7) *ὁ δὲ Κέφαλος παρ⟨αδ⟩έχεται τὸν λόγον καὶ ὅτε κατεκλίνησαν, ἐξέφηνεν ἑαυτὴν ἡ Πρόκρις καὶ ὠνείδισε τὸν Κέφαλον, ᾗ αὐτὸς πολὺ αἴσχιον ἐξαμάρτοι. καὶ τὸν μὲν κύνα καὶ τὸν*

p. 124, 16 *ᾧ γέν. π.* Ma., *τ. τρ. ᾧ γέν. παῖδες αὐτῷ* Salmasius, *τ. τρ. αὐτῷ, ὃν τρ. αὐτῷ γέν. παῖδες* Ver., *τ. τρ. αὐτῷ ἡ γέν. παῖδες* Jacobsius l. l. de lect. P uide sis adnot. praecedentem 1 *οὔρησεν* Mu. *σκολυπένδρας* P 3 *ἡ Ἡλ. — ἀθ. ⟨ἦν⟩* Od.: *ἦν Ἡλ. — ἀθάνατος* P *γοῦν* Od. 11 *θορικον* P 12 *αὐτῶιἐκυνηγέτει* P 16 *συνέφερεν* P 17 *⟨τὸν κύνα Πρόκρις⟩ προσυ.* Ma., *⟨τὸν κύνα⟩* Jacobsius in uers. germ. p. 142 **); *⟨κύνα⟩* Od., sed uix carere possis subiecto *Πρόκρις Πρόκρις ὑπέσχετο* Schaeferus ad Long. p. 388 18 *αὐτΗι* (*Η* in ras.) P *ἐθελῆσαι* P 19 *παρ⟨αδ⟩έχεται* Mu.: *παρέχεται* P 21 *ᾗ* Xyl.: *ἣ* P, *ἧς* Ver.

ἄκοντα λαμβάνει Κέφαλος· Ἀμφιτρύων δὲ χρήζων τοῦ κυνὸς ἐξίκετο παρὰ τὸν Κέφαλον, εἴγε ἐθελήσειεν ἅμα αὐτῷ ἐπὶ τὴν ἀλώπεκα βῆναι σὺν τῷ κυνί, καὶ ὑπέσχετο τῆς λείας Ἀμφιτρύων ἀποίσειν τῷ Κεφάλῳ τὴν μοῖραν, ἣν ἂν ἐκ τῶν Τηλεβοῶν λάβῃ. (8) *ἐφάνη* fol. 209a *γὰρ ἐν ⟨τῷ⟩ χρόνῳ | τούτῳ Καδμείοις ἀλώπηξ, χρῆμά τι ἐξηλλαγμένον· αὕτη συνεχῶς ἐκ τοῦ Τευμησσοῦ κατιοῦσα πολλάκις τοὺς Καδμείους ἥρπαξέ τε * * * * * * καὶ αὐτῇ προὐτίθεσαν παιδίον διὰ τριακοστῆς ἡμέρας, ἡ δὲ κατήσθιε λαμβάνουσα.* (9) *καὶ ἐπειδὴ † Ἀμφιτρύωνος ἰόντος ἐδεήθη Καδμείων ἐπὶ Τηλεβόας αὐτῷ συστρατεῦσαι,* [*καὶ*] *οἱ δ' οὐκ ἔφασαν εἰ μὴ αὐτοῖς τὴν ἀλώπεκα συνεξέλοι, συντίθεται Ἀμφιτρύων ἐπὶ τούτοις πρὸς τοὺς Καδμείους. καὶ ἐλθὼν πρὸς τὸν Κέφαλον ἔλεγε τὴν συνθήκην καὶ ἔπειθε βῆναι εἰς ἆθλον ⟨σὺν⟩ τῷ κυνί, ὁ δὲ Κέφαλος ἀποδέχεται ⟨τὸν λόγον⟩ καὶ ἐλθὼν κυνηγετεῖ τὴν ἀλώπεκα.* (10) *ἦν δὲ θεμιτὸν οὔτε τὴν ἀλώπεκα καταληφθῆναι ὑπό τινος*

1 *χρήζων* P 2 *εἴ πως* Od. 3 *ἐπὶ* ex *ἐπεὶ* corr. in P 5 *Τηλεβοῶν* Od.: *Τηλεβόων* P, cf. ad rem Oberhummer 'Akarnanien' p. 50 6 ⟨*τῷ*⟩ Od. 8 [*πολλάκις*] N. *ἥρπαξέ τε * * * * * * καὶ* Ma. forsitan lacuna sic explenda sit: ⟨*καὶ ἀνεῖλεν·*⟩ uel consimiliter: *ἡρπάζετο* (o in ras.) *καὶ* = *ἥρπαξέ τε καὶ* P, *ἡρπάζετο καὶ* uolgo; *ἥρπαζεν εἰ μὴ* Od. 10 *Ἀμφιτρύωνος ἰόντος* uerba corrupta: cf. de h. l. Od. p. 28 12 [*καὶ*] *οἱ δ'* Od., *καὶ οἱ δ'* P, uolgo *καὶ οἵδ'* 14 *τούτοις* litt. *τοι* in ras. P 15 *ἔλεγεν* P *εἰς ἆθλον* ⟨*σὺν*⟩ *τῷ κ.* Ruhnkenius: *εἰσ ἄσσον τῶι κ.* P, *εἰς Τευμησσὸν* uel *εἰς Θήβας* ⟨*σὺν*⟩ *τῷ κ.* Mu., *ἐπ' ἴσοις* ⟨*σὺν*⟩ *τῷ κ.* Valckenaerius, *εἰς ἄλσος* uel *εἰς θήραν* uel *ἐπ' αὐτὴν* Ver. contra Bast. sub *εἰς ἄσσον* formam aliquam uerbi *εἰσάσσω* (*εἰσαΐσσω*) delitescere censet 16 ⟨*τὸν λόγον*⟩ ex usu script. add. Ma. 17 uerba *ἦν δὲ θεμιτὸν* (*θεμιτόν·* P) *οὔτε τὴν* (*τὴ//* P) *ἀλώπεκα* (*α* in ras. P) marg. P adpicta sunt litt. minusc.: quae post uocem *ἀλώπεκα* inserenda esse indicare non omisit librarius. ⟨*οὐκ*⟩ *ἦν* Ver. 18 *καταληφθῆναι* primae tres

διώκοντος οὔτε τὸν κύνα ἐκφυγεῖν διωκόμενον οὐδέν. ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ πεδίῳ τῶν Θηβαίων, Ζεὺς ἐποίησεν ἀμφοτέρους λίθους.

syll. in ras. P nec iam dilucide conspiciuntur   3 in fine fol. 209ˢ exstat haec subscriptio:

ΑΝΤΩΝΊΝΟΥ ΛΙΒΈΡΑΛΙϹ
ΜЄΤΑΜΟΡΦΩϹЄΩΝ
⁜ ϹΥΝΑΓΩΓΉ : ⁜

Supplementum adnotationis criticae.

[Quae cancellis inclusimus, in cod. Pal. conlocata sunt in rasura.]

p. 67, 16 *συνῳ̇κιζε*   70, 16 *τεῦκροι, ι* postea insertum 19 *ἐξ[αί]σιον*   71, 1 *ἐπαμῦναι* 2 *ἔπεμπέτε καὶ* post *τε* parua ras. 12 *δρυοπ[ί]δοσ* 15 *κραγαλεὺσ* post *λ* ras.   72, 3 *π[ρ]οστά-*
M   M
ξαντοσ 4 *ἀβρακιώταισ* 7 *φαλ[α]ίκωι* 12 *ἐποιῆσαι* ibid. *δ'. εὐνομίαν* 13 *κα[ὶ]* postea add. 15 *ἄιδεσθαι* inter *α* et *δ* ras. 18 *φάλ[α]ικος*   73, 6 *ἱλάσασθ[αι]* 18 *ἀμβρακιῶτ[αι]* 74, 8 *ἄνθρωποι* 13 *[εἶ]χε*   80, 2 *ἔκτ[ι]σαν* 10 *ἄιδοιεν* inter *α* et *δ* pusilla ras. ibid. *ἐπήχλυεν, η* postea add. 15 *[κο]ρυφὴν* 21 ΝΊΚΑΝΔΡΟϹ supra Κ ras. 23 *ἐκτόπω[σ]*   81, 2 *ὄρε[σ]ιν* 5 *ταῦτα* 12 *[ἀ]δελφαῖσ* 16 *ὄ[ρ]ν[ι]θας* 22 *πρ[η]ών*   82, 2 *εἰσενέγκ[η]ται* 7 *θ[ε]οὺσ* 9 *|μ]εμψαμένη*   83, 3 *οἰκ[ι]α* 6 *χελιδον[ί]σ* 14 *συμφορᾶι* inter *α* et *ι* ras. 21 *ἀηδ[ὼ]ν* 23 *[κ]ατ-*
M
εφράσθησαν   84, 1 *ἐπεσεῖν* 6 *ἀηδ[ό]νοσ* 8 *μεταβαλ[ὼ]ν* 14 *τὸν, ον* postea add.   86, 22 *ἀφανισθέντων* supra alt. *α* accentus eras. conspicitur 23 *κυκνε[ί]η*   87, 1 *ἀροτοῦ* supra syll. alt. eras. acc. consp. 6 *δέο[σ]* 7 *αὐτῆι — ζεὺσ*   89, 6 *μεγαλήτορα, η* postea add. 15 *αἰθυ[ι]α* 17 inter *δύο* et *ὄρνιθεσ*

pusilla ras. 90, 3 ὕλῃι, ι postea add. 4 αἴθυ[ι]α 13 συνῆλθ[ο]ν 14 [εἰ]λαπίνασ 17 ὀ ÷ φθαλμὸς, φ postea add. 91, 7 supra αι uocis δαῖτα ras. ibid. μετὰ τῶν supra α et τ ras. ibid. ποιμένων 16 ἐν[ε]ίκεσεν ibid. [ὁ] δὲ 26 ἔτεκε inter τ et ε pusilla ras. ibid. π[υ]γμαῖοι πάντ[εσ] 93, 8 ὑπερμήστρα inter η et σ exigua ras. 16 ἦτι^σ ἔφυσεν nescio quo pacto ἔφυσεν in adn. crit. commemorare omisi 94, 8 παρ[ὼ]ν 15 ἀπόλλων — δὲ 21 τεκεῖν, ν postea adsutum 95, 13 αἰ[γ]ωλιοί 96, 7 κα^{τα}, τὸ 10 καὶ^{ὁ} κ[λ]εῖν[ι]σ 18 [ὁ] κλεῖν[ι]σ ibid. ἅρπασ[ο]σ 23 [ἐ]πεβοῶντο 97, 22 θρᾶ[ι]σσα 98, 5 θ[ῆ]ρεσ 13 ἄρ[η]σ 99, 15 τ[ο]ῖσ 16 λύρα[ι] 22 ἐπεῖν[αι] 101, 15 αἰ^{ε} φύλαττον 17 πόρτιασ, ι postea insertum 24 λαρί^σσησ 102, 10 εἰσελάσ^{ασ}, ἄντικρυσ^{δη} 14 παρελα[σ]θείσασ 103, 5 αὐτ[ι]σ 6 πιθάκνην, μήτηρ 17 ἐξυφα[ί]νειν 20 τὸ^ν 22 ἐρι[ουνί]ουσ 106, 5 θησέ[ω]σ 14 ἀριστ[εῖ]σ 107, 17 προμηθεία[ι] 21 ἔλ[λ]ῳ 108, 5 αἴτ^{ν}ην 9 ΓΑΛ[Ι]ΝΘΙΆϹ 14 μο͂ιραι 21 καταλέλυ[ν]ται supra ν erasus acc. circumflexus 23 ὠδῖνεσ 110, 17 ἤλλαξ,^{αν ἀπ'} ανθρώπων 112, 5 χο — ρευνούσασ 114, 17 τῶ^ν ἀργείων 118, 10 χρύσε[ο]ν 13 διὸσ — καὶ 124, 3 πρόκριδι supra prius ι eras. acc. adhuc conspicitur 125, 3 θυγάτ[η]ρ 12 σ[ὺ]ν 126, 1 ἀμφιτρύ[ω]ν 6 [ἐν] χρόνωι ibid. καδμείοις, μ postea insertum.

INDICES.

[Quaecumque interpolatori debentur, erectis typis descripta aut uncis quadratis adpositis notata sunt. Numerus prior paginam, posterior paginae uersum significat.]

I.

Index auctorum laudatorum.

II.

Index nominum.

III.

Index rerum potiorum.

IV.

Index grammaticus.

[Asterisco insigniui ea uocabula, quae nisi apud Ant. Lib. non reperiuntur; cruce ea, quae deprauata necdum sanata sunt.]